Ἁλιμούσιοι, Δημοσθένης ἐν τῇ πρὸς Εὐβουλίδην ἐφέσει. Ἁλιμοῦς, δῆμος τῆς Λεοντίδος φυλῆς, καὶ οἱ δημόται Ἁλιμούσιοι.

Ἁλιρρόθιος, ὄνομα κύριον. υἱὸς Ποσειδῶνος. Δημοσθένης ἐν τῷ κατ' Ἀριστοκράτους.

Ἀλκέτας, Μολοττῶν βασιλεύς. Ἰσαῖος ἐν τῷ περὶ τῶν ἐν Μακεδονίᾳ ῥηθέντων.

Ἀλκιβιάδης ὁ Κλεινίου. ἦν δὲ καὶ ἕτερος, πρόπαππος τοῦ προειρημένου, ὅν φησι Λυσίας ἐν τῷ κατ' Ἀλκιβιάδου λειποταξίου, εἰ γνήσιος ὁ λόγος, αὐτόν τε καὶ τὸν πρὸς μητρὸς πάππον δὶς ἐξοστρακισθῆναι. ἄλλος δέ ἐστιν Ἀλκιβιάδης, οὗ μνημονεύει Ἀντιφῶν ἐν τῇ πρὸς τὴν Δημοσθένους γραφὴν ἀπολογίᾳ. μνημονεύουσι δ' αὐτοῦ καὶ τῶν ἄλλων ῥητόρων τινὲς καὶ οἱ κωμικοί. ἔστι δὲ Φηγούσιος Ἀλκιβιάδου ξένος.

Ἀλκίμαχος, Δημοσθένης ἐν τῷ κατ' Εὐέργου καὶ (10) Μνησιβούλου. στρατηγὸς οὗτός ἐστιν Ἀναγυράσιος 16 τὸν δῆμον, στρατηγήσας ἐν τῷ πρὸς Φίλιππον πολέμῳ. ἕτερος δέ ἐστιν Ἀλκίμαχος Μακεδών, οὗ μνημονεύει Ὑπερίδης ἐν τῷ κατὰ Δημάδου οὕτως· Ἀλκίμαχον καὶ Ἀντίπατρον Ἀθηναίους καὶ προξένους ἐποιησάμεθα. Ἀναξιμένης δὲ ἐν τῇ δευτέρᾳ τῶν περὶ Ἀλέξανδρον

ἀνέγραψεν αὐτοῦ δημηγορίαν, πρὸς ἣν ἀντειπεῖν φησὶ Δημοσθένην.

Ἀλκμαιωνίδαι, γένος ἐπιφανὲς Ἀθήνησιν, ἀπὸ Ἀλκμαίωνος.

Ἀλογίαν, τὸ μηδένα ἔχειν λόγον, ἀλλ' ἀλογιστὶ πράττειν. Δημοσθένης ἐν τῷ κατ' Ἀριστοκράτους, καὶ Πλάτων.

Ἄλογοι ἐρανισταί, μή ποτε οἱ μήπω ἐξειληχότες τὸ ἐπιβάλλον ἑαυτοῖς, κατὰ τὴν ἐκ τῆς περιόδου τάξιν τῶν ὀνομάτων εἰς τὸν ἔρανον ἐκφερομένων. Δείναρχος ἐν τῷ κατὰ τῶν Πατροκλέους παίδων ἐρανικῷ.

Ἁλόνησος, νησύδριον ἐν τῷ Αἰγαίῳ πελάγει. Αἰσχίνης ἐν τῷ κατὰ Κτησιφῶντος, ὡς καὶ Ἀρχέμαχος ἐν τετάρτῃ τῶν Εὐβοεικῶν. μνημονεύει δὲ τῆς ἀμφισβητήσεως τῆς περὶ Ἁλονήσου καὶ Θεόπομπος ἐν τετάρτῳ
17 καὶ Ἀναξιμένης ἐν τετάρτῳ Φιλιππικῶν.

Ἀλόπη, Λυκοῦργος ἐν τῷ περὶ τῆς ἱερείας. Κερκύονος θυγάτηρ, ἐξ ἧς καὶ Ποσειδῶνος Ἱπποθόων ὁ τῆς Ἱπποθοωντίδος φυλῆς ἐπώνυμος, ὡς Ἑλλάνικός τε ἐν δευτέρᾳ Ἀτθίδος καὶ Εὐριπίδης ἐν τῷ ὁμωνύμῳ, Δείναρχος ἐν τῇ διαδικασίᾳ Φαληρέων.

Ἁλουργοπωλική, ἡ πορφυροπωλικὴ ὑφ' ἡμῶν λεγομένη. Ἰσαῖος ἐν τῷ κατ' Ἐλπαγόρου καὶ Δημοφάνους.

Ἁλῶα, Δημοσθένης ἐν τῷ κατὰ Νεαίρας. ἑορτή ἐστιν Ἀττικὴ τὰ Ἁλῶα. ἥν φησιν Φιλόχορος ὀνομασθῆναι ἀπὸ τοῦ τότε τοὺς ἀνθρώπους τὰς διατριβὰς ποιεῖσθαι περὶ τὰς ἅλως. ἄγεσθαι δὲ αὐτήν φησιν, ἐν τῷ περὶ ἑορτῶν, Ποσειδεῶνος μηνός.

(11) Ἀλωπεκαί, δῆμος τῆς Ἀντιοχίδος. ὁ δὲ δημότης Ἀλωπεκεύς. καὶ Ἀλωπεκῆθεν. πόθεν δὲ ὠνομάσθησαν, Φιλόχορος ἐν τῇ τρίτῃ δηλοῖ.

Ἀλωπεκόνησος, πόλις τῶν ἐν Χεῤῥονήσῳ.

Ἀμάδοκος, Ἰσοκράτης Φιλιππικῷ. δύο γεγόνασιν οὗτοι, πατὴρ καὶ υἱός. ὃς καὶ Φιλίππῳ συμμαχήσων

ἦλθεν εἰς τὸν πρὸς Κερσοβλέπτην πόλεμον. ἀμφο- 18
τέρων μέμνηται Θεόπομπος ἐν τῇ ἐνδεκάτῃ τῶν Φιλιππικῶν.

Ἀμαζόνιον, Ἰσαῖος διείλεκται ἐν τῷ πρὸς Διοκλέα περὶ τῶν Ἀμαζόνων ἀφιερώσεως Ἀθήνησιν, Ἀμμώνιος ἐν τῷ περὶ βωμῶν καὶ θυσιῶν. ἔστι δὲ ἱερὸν, ὃ Ἀμαζόνες ἱδρύσαντο.

Ἁμαξαντεία, δῆμος τῆς Ἱπποθωντίδος φυλῆς. ὁ φυλέτης Ἁμαξαντεύς.

Ἀμβλωθρίδιον, τὸ ἀμβλωθὲν βρέφος.

Ἀμβρακία, πόλις ἐν τῷ Ἀμβρακικῷ κόλπῳ, ἄποικος Κορινθίων.

Ἄμιπποι, Ἰσαῖος τεμενικῷ, οἱ σὺν ἵπποις στρατευόμενοι. ἔνιοι δέ φασιν ὅτι ζεύγνυνταί τινες πρὸς ἀλλήλους ἵπποι κέλητες, ὁ δὲ ἐλαύνων αὐτοὺς τὸν ἕτερον μὲν παρέλκεται, ἐπὶ δὲ τοῦ ἑτέρου ὀχεῖται. οὗτοι ἅμιπποι λέγονται. τοῦτ᾽ ἐστὶ τὸ παρ᾽ Ὁμήρῳ·

θρώσκων ἄλλοτ᾽ ἐπ᾽ ἄλλον.

πεζοὶ δ᾽ εἰσὶν οἱ ἅμιπποι, ὡς δῆλόν ἐστιν ἐκ τῶν Θουκυδίδου καὶ Ξενοφῶντος, ἐκ τῆς τῶν Ἑλληνικῶν. καὶ μή ποτε πρόδρομοί τινές εἰσιν οἱ ἅμα τοῖς ἱππεῦσι τεταγμένοι. Φιλόχορος οὖν ἐν τῇ ἕκτῃ καὶ δεκάτῃ φησὶ, καὶ προδρόμους.

Ἀμμωνὶς, ἡ τοῦ Ἄμμωνος ἱερὰ τριήρης. Δείναρ- 19
χος ἐν τῷ κατὰ Ἱμεραίου.

Ἀμόργης, Πισσούθνου νόθος υἱός ἐστιν.

Ἀμοργὸς, ἔστι παραπλήσιόν τι βύσσῳ. Αἰσχίνης ἐν τῷ κατὰ Τιμάρχου. μνημονεύουσι δὲ οἱ κωμικοὶ (12)
πολλάκις τῶν ἀμοργίνων, ὡς καὶ Ἀριστοφάνης Λυσιστράτῃ καὶ Εὔπολις Πόλεσιν.

Ἀμφιγνοεῖν, ἀντὶ τοῦ ἀγνοεῖν, ἢ ἐνδοιάζειν περὶ τῆς γνώσεως, ὡς καὶ Λυσίας ἐν τῷ πρὸς Ἀσίωνα περὶ τῆς τῶν βιβλίων κλοπῆς, εἰ γνήσιος ὁ λόγος.

Ἀμφιδέαι, εἶδος περισκελίδες τινές. Ἀριστοφάνης Θεσμοφοριαζούσαις. ἰδίως δὲ Λυσίας ἐν τῷ κατ᾽ Εὐθυ-

δίκου φησὶν, Οὐ δυνάμενος δ' ἐκβαλεῖν διὰ τὸ ἀμφιδέαις δεδέσθαι τὰς θύρας.

Ἀμφιδρόμια, Λυσίας ἐν τῷ περὶ τῆς ἀμβλώσεως, εἰ γνήσιος ὁ λόγος. ἡμέρα τις ἤγετο ἐπὶ τοῖς νεογνοῖς παιδίοις, ἐν ᾗ τὸ βρέφος παρὰ τὴν ἑστίαν ἔφερον τρέχοντες, καὶ ὑπὸ τῶν οἰκείων καὶ φίλων πολύποδας καὶ σηπίας ἐλάμβανον.

Ἀμφικτύονες, συνέδριόν τί ἐστιν Ἑλληνικὸν
20 συναγόμενον ἐν Θερμοπύλαις. ὠνομάσθη δὲ ἤτοι ἀπὸ Ἀμφικτύονος τοῦ Δευκαλίωνος· ὅτι αὐτὸς συνήγαγε τὰ ἔθνη βασιλεύων, ὥς φησι Θεόπομπος ἐν ὀγδόῃ· ταῦτα δὲ ἦν δώδεκα· Ἴωνες, Δωριεῖς, Περραιβοί, Βοιωτοί, Μάγνητες, Ἀχαιοί, Φθιῶται, Μηλιεῖς, Δόλοπες, Αἰνιᾶνες, Δελφοί, Φωκεῖς· ἢ ἀπὸ τοῦ περιοίκους εἶναι τῶν Δελφῶν τοὺς συναχθέντας, ὡς Ἀναξιμένης ἐν πρώτῃ Ἑλληνικῶν.

Ἀμφίπολις, Ἀντιφῶν περὶ τοῦ Λινδίων φόρου. πόλις αὕτη τῆς Θρᾴκης. πρότερον δὲ ἐννέα ὁδοὶ ἐκαλεῖτο, ὡς Ἀνδροτίων ἐν δωδεκάτῃ Ἀτθίδος. Μαρσύας δ' ἐν Μακεδονικαῖς, διὰ τὸ περιοικεῖσθαι τὸν τόπον Ἀμφίπολιν ὠνομάσθαι, πρότερον Ἄκρα καλουμένη. οἱ δὲ, Ἄρεος πόλις.

Ἀμφισβητεῖν καὶ παρακαταβάλλειν. οἱ τὸν κλῆρον ἐπιδικαζόμενοι, ἀμφισβητεῖν, ἢ παρακαταβάλλειν λέγονται. οἱ μὲν φάσκοντες ἐπίδικον εἶναι τὸν κλῆρον,
(13) ὡς ὄντος παιδὸς τῷ τετελευτηκότι, ἢ γόνῳ, ἢ ποιήσει, οἱ δὲ, ὡς ἄπαιδος τελευτήσαντος, δικαιότερον λέγοντες ἔχειν αὐτοὺς τὸν κλῆρον τοῦ λαβόντος. ἢ συγγενεῖς
21 ὄντες, ἢ κατὰ διαθήκας κληρονόμοι. οὕτω Δημοσθένης καὶ Ὑπερίδης περὶ τοῦ καταβάλλειν διεσάφησαν.

Ἄμφισσα, Δημοσθένης ἐν τῷ ὑπὲρ Κτησιφῶντος, πόλις τῆς Λοκρίδος. Ἀριστοτέλης ἐν τῇ Ὀπουντίων πολιτείᾳ οὕτω λέγει. Ἀνδραίμων δὲ ἦν οἰκιστής. Ἄμφισσαν δ' ὠνόμασαν διὰ τὸ περιέχεσθαι τὸν τόπον ὄρεσιν.

Ἀμφοτερόπλουν, Δημοσθένης ἐν τῷ κατὰ Διονυσοδώρου, ὅταν τις ναυτικὸν δανείσῃ δάνειον ἐπὶ τῷ καὶ ἐνθένδε πλεῦσαί ποι κἀκεῖθεν ἐνθάδε, τοῦτο ἀμφοτερόπλουν καλεῖται.

Ἀμωσγέπως, ἀντὶ τοῦ ἑνὶ γέ τινι τρόπῳ. Λυσίας ἐν τῷ κατ' Ἀρισταγόρου ἐνδείξεως, εἰ γνήσιος.

Ἀναβάλλει, ἀντὶ τοῦ εἰς ἀναβολὰς καθίστησι, καὶ οἱονεὶ ἀναβάλλεται. Δημοσθένης Φιλιππικοῖς.

Ἀνάγειν, τὸ μηνύειν τὸν πεπρακότα, καὶ ἐπ' ἐκεῖνον ἰέναι. Λυσίας ἐν τῷ πρὸς Βοιωτὸν, εἰ γνήσιος.

Ἀναγεῖς, Αἰσχίνης κατὰ Κτησιφῶντος. διὰ μὲν τοῦ α, τοὺς ἀνάγνους· ἐὰν δὲ ἐναγεῖς, τοὺς ἐν τῷ ἄγει, τουτέστιν, ἐν τῷ μιάσματι.

Ἀναγινωσκόμενος, ἀντὶ τοῦ ἀναπειθόμενος. 22
Ἀντιφῶν, Ἰσαῖος, Ἡρόδοτος ἐν πρώτῃ.

Ἀναγκαῖον, ἀντὶ τοῦ δεσμωτήριον. Ἰσαῖος ἐν τῷ πρὸς Ἕρμωνα, καὶ Ξενοφῶν Ἑλληνικαῖς· Καλλισθένης δὲ, ἀνώγαιον εἶπεν, ὃ δεῖ μᾶλλον λέγεσθαι.

Ἀναγυράσιος, Αἰσχίνης ἐν τῷ κατὰ Κτησιφῶντος. δῆμός ἐστιν Ἀναγυροῦς τῆς Ἐρεχθηΐδος φυλῆς, ἔνθεν ὁ δημότης Ἀναγυράσιος.

Ἀναδικάσασθαι, τὸ ἄνωθεν δικάσασθαι. οὕτως Ἰσαῖος. ἐντεῦθεν καὶ τὸ, ἀνάδικοι κρίσεις, αἱ ἄνωθεν δικαζόμεναι, ὅταν ἁλῶσιν οἱ μάρτυρες ψευδομαρτυριῶν.(14)

Ἀναθέσθαι, Ἀντιφῶν περὶ ὁμονοίας· Ἀναθέσθαι δὲ ὥσπερ πεττὸν τὸν βίον οὐκ ἔστιν. ἀντὶ τοῦ ἄνωθεν βιῶναι μετανοήσαντας ἐπὶ τῷ προτέρῳ βίῳ. εἴρηται δὲ ἐκ μεταφορᾶς τῶν πεττευομένων. Πλάτων ἐν Ἱππάρχῳ, ἢ Φιλοκερδεῖ.

Ἀναιρεθεὶς, ἀντὶ τοῦ ἀναληφθεὶς καὶ τραφεὶς, παρ' Ἰσοκράτει Φιλίππῳ.

Ἀναίνεσθαι, κοινῶς μὲν τὸ ἀρνεῖσθαι, ἰδίως δὲ ἐπὶ τῶν κατὰ τοὺς γάμους καὶ τὰ ἀφροδίσια λέγεται. 23
Δημοσθένης ἐν τῇ ὑπὲρ Φορμίωνος παραγραφῇ. Πλάτων Φάωνι. Μένανδρος Σικυωνίῳ.

Ἀνακαιᾶσι, δῆμος φυλῆς Ἱπποθοωντίδος ἡ Ἀνάκαια.

Ἀνακαλυπτήρια, δῶρα διδόμενα ταῖς νύμφαις παρά τε τοῦ ἀνδρὸς καὶ τῶν οἰκείων καὶ φίλων, ὅταν τὸ πρῶτον ἀνακαλύπτωνται ὥστε ὁραθῆναι τοῖς ἀνδράσι. καλεῖται δὲ αὐτὰ καὶ ἐπαύλαια. ταῦτα δ' εἰσὶ τὰ παρ' ἡμῖν θεώρετρα.

Ἀνακεῖον, τὸ ἀνάκτορον. Δημοσθένης ἐν τῷ κατὰ Στεφάνου. ἱερὸν τῶν Διοσκούρων.

Ἀνάκρισις, ἐξέτασις ὑφ' ἑκάστης ἀρχῆς γινομένη πρὸ τῶν δικῶν, περὶ τῶν συντεινόντων εἰς τὸν ἀγῶνα. ἐξετάζουσι δὲ καὶ εἰ ὅλως εἰσάγειν χρή.

Ἄνακτες καὶ ἄνασσαι, οἱ μὲν υἱοὶ καὶ ἀδελφοὶ τοῦ βασιλέως καλοῦνται ἄνακτες, αἱ δὲ ἀδελφαὶ καὶ γυναῖκες ἄνασσαι. Ἀριστοτέλης ἐν τῇ Κυπρίων πολιτείᾳ.

Ἀναξαγόρας, σοφιστής, Ἡγησιβούλου υἱὸς, Κλαζομένιος, Ἀναξιμένους μαθητὴς Μιλησίου. νοῦς δὲ ἐπε-
24 καλεῖτο, ἐπεὶ ὕλην τε καὶ νοῦν πάντων φρουρὸν εἶπεν. αὐτὸς δ' ἐστὶν ὁ τὸν ἥλιον μύδρον εἰπὼν διάπυρον.

Ἀναξίβιος, Λυσίας ἐν τῷ κατὰ Θρασυβούλου. Λακεδαιμονίων δὲ ἦν στρατηγός.

Ἀναποδιζόμενα, ἀντὶ τοῦ ἐξεταζόμενα. ἢ ἀντὶ
(15) τοῦ ἄνωθεν τὰ αὐτὰ πολλάκις λεγόμενα, ἢ πραττόμενα. Ἀντιφῶν ἀληθείας πρώτῃ.

Ἀνασείσας, ἀπειλησάμενος. Δημοσθένης κατὰ Ἀριστογείτονος.

Ἀνασυντάξας, ἀντὶ τοῦ ἄνωθεν συντάξας. Ὑπερείδης κατὰ Πολυεύκτου.

Ἀνατεὶ, ἀντὶ ἄνευ ἄτης, ἄνευ κακοῦ. Ἰσαῖος ἐν τῷ πρὸς Ἀπολλόδωρον.

Ἀναφλύστιοι, Αἰσχίνης ἐν τῷ κατὰ Κτησιφῶντος. Ἀνάφλυστος δῆμος τῆς Ἀντιοχίδος. ἔνιοι δὲ ὡς πόλεως τῆς Ἀναφλύστου μνημονεύουσιν.

Ἀναφορὰ, τὸ ἀναφέρειν τὴν αἰτίαν τῶν ἁμαρτηθέντων ἐπ' ἄλλους. Δημοσθένης ὑπὲρ Κτησιφῶντος.

Ἄνδηρα, Ὑπερίδης ἐν τῷ κατὰ Κόνωνος. τὰ χείλη
τῶν ποταμῶν ἄνδηρα λέγουσι, διὰ τὸ ἀεὶ ἔνικμα καὶ
διερὰ εἶναι. οἱ δὲ τὰ ἀναχώματα, διὰ τὸ ἄνω καὶ κα- 25
θύπερθε τῶν διερῶν εἶναι. Ὑπερίδης.

Ἀνδοκίδου Ἑρμῆς, Αἰσχίνης ἐν τῷ κατὰ Τιμάρχου· ἔπειτα τὸν Ἑρμῆν τὸν Ἀνδοκίδου καλούμενον, οὐκ Ἀνδοκίδου, ἀλλ' Αἰγηΐδος φυλῆς εἶναι ἀνάθημα. καὶ αὐτὸς Ἀνδοκίδης ἐν τῷ περὶ τῶν Μυστηρίων, ὅτι τῆς Αἰγηΐδος εἴη τὸ ἀνάθημα εἴρηκεν. ὥστε ὁ Δοῦρις αὐτοσχεδιάζει, Ἀνδοκίδου αὐτὸ εἶναι λέγων.

Ἀνδραποδοκάπηλος, ὁ νῦν λεγόμενος σωματέμπορος, παρὰ τὸ καπηλεύειν τὰ ἀνδράποδα, ὅ ἐστι πιπράσκειν. Ἰσαῖος ἐν τῷ πρὸς Ἕρμωνα.

Ἀνδραποδιστής. Λυκοῦργος ἐν τῷ κατὰ Λυκόφρονος· θαυμάζω δ' ἐγὼ, εἰ τοὺς ἀνδραποδιστὰς, τῶν οἰκετῶν ἡμᾶς ἀποστεροῦντας μόνον θανάτῳ ζημιοῦν.

Ἀνδρεία, ἡ τῶν ἀνδρῶν ἡλικία. Ἀντιφῶν περὶ ὁμονοίας.

Ἀνδροληψία, τὸ ἁρπάζειν ἄνδρας ἔκ τινος πό-
λεως. ἐνεχύραζον γὰρ τὴν ἔχουσαν πόλιν τὸν ἀνδροφό-
νον, καὶ μὴ προϊεμένην αὐτὸν εἰς τιμωρίαν. Δημοσθέ-(16)
νης κατ' Ἀριστοκράτους. λέγει δὲ καὶ οὐδετέρως τὸ ἀν- 26
δρολήψιον ἐν τούτῳ.

Ἀνδρὼν, Ἀντιφῶν ἐν τῷ πρὸς τὴν Δημοσθένους ἀντιγραφήν. Ἀνδρῶνα φησὶν εἶναι Κρατερὸς ἐν τῇ ἐννάτῃ τῶν ψηφισμάτων τὸν γράψαντα τὸ ψήφισμα τὸ περὶ τοῦ Ἀντιφῶντος τοῦ ῥήτορος. ἦν δὲ εἷς τῶν τετρακοσίων ὁ Ἀνδρών.

Ἀνελοῦσα γὰρ τὸν νόμον, τοῦτον ἐχειροτόνησεν αὐτῇ, Δημοσθένης ἐν τῷ κατ' Ἀνδροτίωνός φησιν. ἀσαφῶς δ' αὐτοῦ ἔχοντος καὶ ἐλλειπῶς, ἄλλοι ἄλλως ἐξηγοῦνται. ἐν δὲ τοῖς Ἀττικοῖς διττὴ ἦν γραφή. ἡ μὲν οὕτως· ἀνελοῦσα γὰρ τὸν νόμον τοῦτον·

ἐχειροτόνησεν αὐτήν. ἀντὶ τοῦ, παραβᾶσα γὰρ τοῦτον τὸν νόμον, διαχειροτονίαν περὶ αὐτῆς ἔδωκεν, εἰ χρὴ στεφανοῦν αὐτήν. ἡ δ' ἄλλη· ἀνελοῦσα γὰρ τὸν νόμον τοῦτον, ἐχειροτόνησε λαβοῦσα ἐκεῖνον αὐτῇ.

Ἀνεμοίτας, Δημοσθένης ἐν τῷ ὑπὲρ Κτησιφῶντος. οὗτος τὸ γένος Θηβαῖος.

Ἀνεπόπτευτος, Ὑπερίδης ἐν τῷ ὑπὲρ Φρύνης.
27 ὁ μὴ ἐποπτεύσας. τί δὲ τὸ ἐποπτεῦσαι, δηλοῖ Φιλόχορος ἐν τῇ δεκάτῃ· τὰ ἱερὰ οὗτος ἀδικεῖ πάντα, τά τε μυστικὰ καὶ τὰ ἐποπτικά. καὶ πάλιν· Δημητρίῳ μὲν οὖν ἴδιόν τι ἐγένετο παρὰ τοὺς ἄλλους, τὸ μόνον ἅμα μυηθῆναι καὶ ἐποπτεῦσαι, καὶ τοὺς χρόνους τῆς τελετῆς τοὺς πατρίους μετακινηθῆναι.

Ἀνεσκευάσατο, τὸ λεγόμενον ἐν τῷ βίῳ ἀναστατωθῆναι. τουτέστι τὸ ἀνασκευάσασθαι, καὶ οἷον ἀπείπασθαι.

Ἄνετον, ἀντὶ τοῦ τὸν ἱερὸν καὶ ἀνειμένον θεῷ τινι. Ὑπερίδης Δηλιακῷ.

Ἀνεχαίτισε, Δημοσθένης ἐν τοῖς Φιλιππικοῖς, ἀντὶ τοῦ ἀνέκοψεν, ἢ ἀνέτρεψεν· ἐκ μεταφορᾶς τῶν ἵππων.

Ἀνήκει, παρ' Ἀντιφῶντι ἀληθείας πρώτῳ, ἀντὶ
(17) ἁπλοῦ τοῦ ἥκει, ἢ οἷον ἀνεβιβάσθη καὶ προελήλυθεν.

Ἄνθεια, ὅτι μὲν ἑταίρα δῆλον. μή ποτε δὲ Ἄντεια γραπτέον διὰ τοῦ τ, ἐπεὶ οὕτως εὕρομεν παρὰ Λυσίᾳ.

Ἀνθεμόκριτος, Ἰσαῖος ἐν τῷ πρὸς Καλυδῶνα· τό τε βαλανεῖον τὸ παρ' Ἀνθεμοκρίτου ἀνδριάντα.
28 τουτέστι πρὸς ταῖς Θριασίαις πύλαις. οὗτος ἦν Ἀθηναίων μὲν κῆρυξ, ὑπὸ Μεγαρέων δ' ἀπεσφάγη, ἀπαγορεύων αὐτοῖς τὴν ἱερὰν ταῖν θεαῖν ὀργάδα μὴ ἐπεργάζεσθαι.

Ἀνθεμοῦς, πόλις Μακεδονική· καὶ οἱ ἀπ' αὐτῆς Ἀνθεμούντιοι.

Ἀνθεστηριών. ὄγδοος μὴν οὗτος παρ' Ἀθηναίοις, ἱερὸς Διονύσου. Ἴστρος δὲ ἐν τοῖς τῆς συναγω-

γῆς κεκλῆσθαί φησιν αὐτὸν, διὰ τὸ πλεῖστα τῶν ἐκ τῆς γῆς ἀνθεῖν τότε.

Ἀνθήνη, Λυσίας ἐν τῇ πρὸς τὴν Ἀριστοδήμου γραφήν, εἰ γνήσιος· πόλις τῆς Λακωνικῆς.

Ἀνθυπώμοσαν, ἀντὶ τοῦ ὑπεῖπον τῇ ὑπωμοσίᾳ. Δημόσθένης κατὰ Ὀλυμπιοδώρου.

Ἀνίδρυτος, ἀντὶ τοῦ ἀνεξίλαστος. Δημοσθένης ἐν τῷ κατ' Ἀριστογείτονος.

Ἄοικος, ἀντὶ τοῦ ἀοίκητος. Λυκοῦργος κατὰ Λυκόφρονος.

Ἀντεπιτίθησιν, ἀντὶ τοῦ ἀντεπιστέλλει. Ἰσαῖος ἐν τῷ πρὸς Καλλιππίδην.

Ἀντιάταις, τοῖς ἀπὸ Ἀντίου πόλεως, ἥτις ἀπέχει Ῥώμης τριακοσίους σταδίους.

Ἀντιβληθέντας, ἀντὶ τοῦ ὑπαγορευθέντας. Δεί- 29
ναρχος ἐν τῇ κατὰ Πυθέου εἰσαγγελίᾳ.

Ἀντιγενίδας, Λυσίας ἐν τῷ πρὸς Νίκαρχον τὸν αὐλητήν, εἰ γνήσιος. υἱὸς οὗτος ἦν Διονυσίου, ἐνδοξότατος αὐλητής.

Ἀντιγραφεύς, ὁ καθιστάμενος ἐπὶ τῶν καταβαλλόντων τινὰ τῇ πόλει χρήματα, ὥστε ἀντιγράφεσθαι ταῦτα. Δημοσθένης ἐν τῷ κατὰ Ἀνδροτίωνος καὶ Αἰ-
σχίνης ἐν τῷ κατὰ Κτησιφῶντος. διττοὶ δὲ ἦσαν ἀντι- (18)
γραφεῖς, ὁ μὲν τῆς διοικήσεως, ὥς φησι Φιλόχορος, ὁ δὲ τῆς βουλῆς, ὡς Ἀριστοτέλης ἐν Ἀθηναίων πολιτείᾳ.

Ἀντιγραφή. ἰδίως μὲν ἐπὶ ταῖς τῶν κλήρων διαδικασίαις ἀντιγραφὴ καλεῖται, ὅταν τις ὡς ἄπαιδος ὄντος τοῦ τετελευτηκότος, ἑαυτῷ φάσκῃ προσήκειν τὸν κλῆρον κατὰ γένους δόσιν. κοινῶς δ' ἐν ταῖς δίκαις ταῖς δημοσίαις τὰ τῶν δικαζομένων γράμματα, ἃ ἐδίδοσαν περὶ τοῦ πράγματος, καὶ τὰ τοῦ διώκοντος καὶ τὰ τοῦ φεύγοντος, ἀντιγραφὴ καὶ τὰ μαρτύρια. Δημοσθένης κατὰ Στεφάνου καὶ Ὑπερίδης. Πλάτων δὲ ἐν τῇ Σωκράτους ἀπολογίᾳ τὸ αὐτὸ καλεῖ ἀντωμοσίαν καὶ ἀντιγραφήν.

30 *Ἀντίθεσις*, Ἰσοκράτης Παναθηναϊκῷ. σχῆμα λέξεώς ἐστιν ἡ ἀντίθεσις, καθ' ἣν ἀντιτιθέασιν ἀλλήλοις τὰ ἐναντία, ἤτοι κατὰ μέρος, ἢ ἀθρόως. καὶ κατὰ μέρος μὲν, ὡς Δημοσθένης ἐν τῷ ὑπὲρ Κτησιφῶντος· ἐδίδασκες γράμματα, ἐγὼ δὲ ἐφοίτων, καὶ τὰ ἑξῆς. ἀθρόως δὲ, πάντων πρὸς πάντας, ὡς ὁ αὐτὸς Δημοσθένης ἐν τῷ κατὰ Μειδίου ἀπὸ τοῦ, Ὁ μέν γε ὑπὸ Φιλέως γνωρίμου· ἕως, Βαδίζειν χορηγοῦντι. λέγεται δὲ καὶ ἀντίθετον τὸ αὐτὸ σχῆμα, ὡς Αἰσχίνης ἐν τῇ περὶ τῆς παραπρεσβείας ἀπολογίᾳ.

Ἀντίκυρα, Λυσίας ἐν τῷ πρὸς Μέδοντα. μή ποτε ἐπώνυμόν ἐστιν. Ἀντιφάνης ἐν τῷ περὶ τῶν ἑταιρῶν φησιν· Ἀντίκυραν δ' ἐκάλεσαν, ὅτι συνέπινε παρακινοῦσι καὶ μεμηνόσιν. οἱ δὲ, ὅτι ἰατρὸς αὐτῇ Νικόστρατος κατέλιπεν ἀποθνήσκων πολὺν ἐλλέβορον.

Ἀντιοχὶς, ὄνομα φυλῆς.

Ἀντίπατρος, Ἰολάου παῖς.

Ἀντιφῶν, εἷς τῶν δέκα ῥητόρων, Σωφίλου μὲν υἱὸς, ἀπὸ τῆς φυλῆς δὲ Ῥαμνούσιος.

Ἄντισσα, Δημοσθένης ἐν τῷ κατ' Ἀριστοκράτους.
31 μία πόλις τῶν ἐν Λέσβῳ.

(19) *Ἀντρῶνες*, πόλις ἐν Θετταλίᾳ. Δημοσθένης Φιλιππικοῖς.

Ἀντωμοσία. γράμματά τινα γράψαντες ἀποφέρουσι πρὸς τὴν ἀρχὴν οἵ τε κατηγοροῦντες καὶ οἱ κατηγορούμενοι, περὶ ὧν ἂν ἡ δίκη. καλεῖται δὲ οὕτως, ἐπειδὴ ἀντώμνυον οἱ διώκοντες καὶ οἱ φεύγοντες, οἱ μὲν ἀληθῆ κατηγορήσειν, οἱ δὲ ἀληθῆ ἀπολογήσασθαι.

Ἀνωρθίαζον, Ἀνδοκίδης, ἀντὶ τοῦ ὄρθιον βοῶντες ἔλεγον. Ὅμηρος,

ἔνθα στᾶσ' ἤϋσε θεὰ μέγα τε δεινόν τε,
ὄρθι' Ἀχαιοῖσιν, μέγα δὲ σθένος ἔμβαλ' ἑκάστῳ
καρδίῃ, ἄλληκτον πολεμίζειν ἠδὲ μάχεσθαι.

Ἀξιοῖ, ἀντὶ τοῦ νομίζει, Ἀντιφῶν ὑπὲρ τῆς εἰς τὸν ἐλεύθερον παῖδα.

Ἀξίοχος. Αἰσχίνῃ τῷ Σωκρατικῷ διάλογος ἐγράφη Ἀξίοχος καλούμενος.

Ἄξονες. οἱ Σόλωνος νόμοι ξυλίνοις ἦσαν ἄξοσι γεγραμμένοι. Δημοσθένης ἐν τῷ κατ' Ἀριστοκράτους· ὡς ἐν τῷ ἄξονι εἴρηται. ἦσαν δέ, ὥς φησι Πολέμων ἐν τοῖς πρὸς Ἐρατοσθένην, τετράγωνοι τὸ σχῆμα. διασῴζονται δὲ ἐν τῷ πρυτανείῳ, γεγραμμένοι καθ' ἅπαντα 32 τὰ μέρη. ποιοῦσι δ' ἐνίοτε φαντασίαν τρίγωνον, ὅταν ἐπὶ τὸ στενὸν κλιθῶσι τῆς γωνίας.

Ἄοπτα, ἀντὶ τοῦ ἀόρατα καὶ οὐκ ὀφθέντα, ἀλλὰ δόξαντα ὁρᾶσθαι. Ἀντιφῶν ἀληθείας πρώτῳ.

Ἄπαγε, ἀντὶ τοῦ ἀπαγωγῇ χρῶ. ἀπαγωγὴ δὲ εἶδός ἐστι δίκης. Δημοσθένης ἐν τῷ κατὰ Κόνωνος. ὠνόμασται δὲ ἀπὸ τοῦ ἀπάγειν, ἀπάγεσθαι δ' ἐπὶ τῶν κακούργων, ἀπήγοντο δὲ πρὸς τοὺς ἕνδεκα.

Ἀπαγορεύειν, ἀντὶ τοῦ κάμνειν καὶ ἀδυνάτως ἔχειν. Λυσίας ἐν ἐρωτικῷ.

Ἀπαθῆ, ἀντὶ τοῦ τὰ μὴ ὡς ἀληθῶς γεγονότα πάθη. (20) Ἀντιφῶν ἀληθείας πρώτῳ.

Ἀπαριθμῶν, ἀντὶ τοῦ ἀποπληρῶν ἀριθμόν. Ἰσοκράτης Φιλίππῳ.

Ἀπαρτιλογία. Λυσίας ἐν τῷ πρὸς Ἀρέσανδρον, καὶ Ἡρόδοτος, ἀντὶ τοῦ ἀπηρτισμένος καὶ πλήρης ἀριθμός.

Ἀπατούρια. Δημοσθένης ἐν τῷ πρὸς Βοιωτόν. ἑορτή ἐστι παρ' Ἀθηναίοις, ἣν ἄγουσι Πυανεψιῶνι ἐφ' 33 ἡμέρας τέτταρας, ὥς φασιν οἱ τὰ περὶ ἑορτῶν γράψαντες. πόθεν δ' ἐκλήθη, ἄλλοι τε πολλοὶ εἰρήκασι καὶ Ἔφορος ἐν δευτέρᾳ, ὡς διὰ τὴν ὑπὲρ τῶν ὁρίων ἀπάτην γενομένην, ὅτι πολεμούντων Ἀθηναίων πρὸς Βοιωτοὺς ὑπὲρ τῆς τῶν Μελαινίας χώρας, Μέλανθος ὁ τῶν Ἀθηναίων βασιλεύς, Ξάνθον τὸν Θηβαῖον μονομαχῶν ἀπατήσας ἀπέκτεινεν.

Ἀπειπεῖν, ἀντὶ τοῦ ἀποκαμεῖν καὶ ἀδυνατῆσαι. Ἀντιφῶν ἐν τῷ περὶ τοῦ Λινδίων φόρου. καὶ ἀντὶ τοῦ ἀπαρνήσασθαι παρὰ τῷ αὐτῷ.

Ἀπεργασάμενος, ἀντὶ τοῦ ἀποδοὺς ἐκ τῶν ἔργων ὧν εἰργάσατο. Ἰσαῖος ἐν τῷ πρὸς Ἀπολλόδωρον.

Ἀπεσχοινισμένος, Δημοσθένης ἐν τῷ κατὰ Ἀριστογείτονος πρώτῳ, ἀντὶ τοῦ ἀποκεκλεισμένος. ὅταν γὰρ ἡ βουλὴ περισχοινίσηται, ὡς αὐτός φησι, τότε οἱ ἄλλοι πάντες εἰσὶν ἀπεσχοινισμένοι.

Ἀπηλοημένος, ὁ ἀπὸ τῆς ἅλω συγκεκομισμένος
34 μετὰ τὸ ἀλοηθῆναι, ὅ ἐστι πατηθῆναι. Δημοσθένης ἐν τῷ πρὸς Φαίνιππον.

Ἀπήχεια, ἀντὶ τοῦ ἀπέχθεια. Λυσίας πρὸς Μέδοντα, καὶ Δείναρχος κατὰ Κηφισοκλέους.

Ἀπίλλειν, Λυσίας ἐν τῷ κατὰ Θεομνήστου, εἰ γνήσιος. ἀποκλείειν νομίζεται.

Ἀπιστεῖν, ἀντὶ τοῦ ἀπειθεῖν, Ἀντιφῶν κατὰ
(21) Λαισπουδίου, Ἰσοκράτης ἐν τῇ ἐπιστολῇ τῇ πρὸς Φίλιππον. λέγουσι δὲ καὶ ἀπιστίαν τὴν ἀπείθειαν, ὡς Δημοσθένης ἐν ἐννάτῳ Φιλιππικῶν καὶ ἄλλοι πολλοί.

Ἁπλᾶς, Δημοσθένης κατὰ Κόνωνος. Καλλίστρατός φησι τὰ μονόπελμα τῶν ὑποδημάτων οὕτω καλεῖσθαι. Στράττις Λημνομέδᾳ· ὑποδήματα σεαυτῷ πρίασθαι τῶν ἁπλῶν.

Ἀποβάτης, καὶ ἀποβαίνειν, καὶ ἀποβατι-
35 κοὶ τροχοί. Δείναρχος κατὰ Φορμισίου καὶ ἐν τῇ πρὸς Ἀντιφάνην ἀπολογίᾳ, Λυκοῦργός τε ἐν τῇ πρὸς Δημάδην ἀπολογίᾳ. ὁ ἀποβάτης ἱππικόν τι ἀγώνισμα. καὶ ἀποβῆναι, τὸ ἀγωνίσασθαι τὸν ἀποβάτην., καὶ ἀποβατικοὶ τροχοὶ, οἱ ἀπὸ τούτου τοῦ ἀγωνίσματος... τὰ δ' ἐν αὐτῷ γινόμενα δηλοῖ Θεόφραστος ἐν τῷ εἰκοστῷ τῶν νόμων. χρῶνται δέ, φησι, τούτῳ μόνοι τῶν Ἑλλήνων Ἀθηναῖοι καὶ Βοιωτοί.

Ἀπογραφή. ὅταν τις λέγῃ τινὰ ἔχειν τι τῶν τῆς πόλεως, ἀπογραφὴν ποιεῖται ὁ ἐναγόμενος, δηλῶν πόθεν ἔχει τὰ χρήματα, καὶ πόσα ταῦτα εἴη. μή ποτε καὶ εἶδός τι δίκης ἐστὶν ἡ ἀπογραφή. εἰ γὰρ ἀρνοῖτό τις μὴ ἔχειν, ἀπογραφεὶς ἐκρίνετο, ὡς οὐκ ὀρθῶς γεγενη-

μένης τῆς ἀπογραφῆς. Δημοσθένης κατ' Ἀνδροτίωνος. τί δὲ ἦν τὸ κινδύνευμα τῷ τὴν ἀπογραφὴν ποιουμένῳ, ἐν τῷ Δημοσθένους πρὸς Νικόστρατον περὶ τῶν Ἀρεθουσίου ἀνδραπόδων, εἰ γνήσιος, δῆλον γίνεται.

Ἀποδέκται. ἀρχή τίς ἐστι παρ' Ἀθηναίοις οἱ ἀποδέκται, ἧς πολλάκις μνημονεύουσιν οἱ ῥήτορες καὶ οἱ κωμικοί. Ἀριστοτέλης δ' ἐν τῇ Ἀθηναίων πολιτείᾳ δεδήλωκεν ὡς δέκα τε εἴησαν καὶ ὡς παραλαβόντες τὰ γραμματεῖα ἀπαλείφουσι τὰ καταβαλλόμενα χρήματα τῆς 36 βουλῆς ἐναντίον ἐν τῷ βουλευτηρίῳ, καὶ πάλιν ἀποδιδόασιν τὰ γραμματεῖα τῷ δημοσίῳ· καὶ ἁπλῶς ἃ πράττουσι διασαφεῖ. ὅτι δὲ ἀντὶ τῶν κωλακρετῶν οἱ ἀποδέκται ὑπὸ Κλεισθένους ἀπεδείχθησαν, Ἀνδροτίων ἐν τῷ δευτέρῳ.

Ἀποδιδόμενοι, Ἀντιφῶν ἐν τῷ περὶ τοῦ Σαμοθρακῶν φόρου, ἀντὶ τοῦ ἀποδιδόντες. ἑξῆς δέ φησιν ἀποδιδόμεθα, ἤτοι ἀντὶ τοῦ ἀποδίδομεν, ἢ ἀντὶ τοῦ πιπράσκομεν. (22)

Ἀποικία, ἰδίως τὰ γράμματα, καθ' ἃ ἀποικοῦσί τινες, οὕτως ὠνόμασαν. Ὑπερίδης Δηλιακῷ.

Ἀποικοδομεῖς, ἀντὶ τοῦ ἀποφράττεις ἀπολαβών τινα οἰκοδομήματι. Δημοσθένης ἐν τῷ πρὸς Καλλικλέα.

Ἀποκηρύττοντες, ἀντὶ τοῦ πιπράσκοντες. Δημοσθένης κατὰ Ἀριστοκράτους. Πλάτων Πρέσβεσι· σκευάρια δὴ κλέψας ἀπεκήρυξεν. ἐκφέρων ἐπώλησεν.

Ἀπόκρισις, ἡ ἀπολογία. Λυσίας καὶ Δημοσθένης κατ' Αἰσχίνου· ἀπόκριναι γὰρ δεῦρο παρελθών μοι. 37 Εὔπολις Πόλεσιν·

ὡς ὑμῖν πάντως ἐγὼ
ἀποκρινοῦμαι πρὸς τὰ κατηγορούμενα.

Ἀπολαχεῖν, ἀντὶ ἁπλοῦ τοῦ λαχεῖν. Ἀντιφῶν ἐν τῷ κατὰ Φιλίνου, Λυσίας κατὰ Ποσιδίππου. Ἀριστοφάνης Ταγηνισταῖς,

οὐ μὴν ὅ γε σὸς ἀδελφὸς οὐκ ἀπελάγχανεν.

Ἀπολελοιπότες, ἀντὶ τοῦ νενικηκότες. ἡ μεταφορὰ ἀπὸ τῶν δρομέων. οἱ γὰρ νικῶντες ἀπολείπουσι τοὺς ἡττημένους. Ἰσοκράτης Παναθηναϊκῷ καὶ Πανηγυρικῷ.

Ἀπόληξις, εἷς τῶν ν' συγγραφέων, ὃν Πλάτων κωμῳδεῖ ἐν Σοφιστῇ.

Ἀπομάττων, οἱ μὲν ἁπλοϊκώτερον ἀκούουσιν ἀντὶ τοῦ ἀποψῶν καὶ λυμαινόμενος, ἄλλοι δὲ περιεργότερον, οἷον περιπλάττων τὸν πηλὸν καὶ τὰ πίτυρα τοῖς τελουμένοις, ὡς λέγομεν, ἀπομάττεσθαι τὸν ἀνδριάντα τῷ πηλῷ καὶ τῷ πιτύρῳ τοὺς μυουμένους, ἐκμιμούμενοι τὰ μυθολογούμενα παρ' ἐνίοις, ὡς ἄρα οἱ Τιτᾶνες τὸν Διόνυσον ἐλυμήναντο γύψῳ καταπλασάμενοι ἐπὶ
38 τῷ μὴ γνώριμοι γενέσθαι. τοῦτο μὲν οὖν τὸ ἔθνος
(23) ἐκλιπεῖν, πηλῷ δὲ ὕστερον καταπλάττεσθαι νομίμου χάριν. Σοφοκλῆς ἐν Αἰχμαλωτίσι,

στρατοῦ καθαρτὴς καὶ ἀπομαγμάτων ἴδρις.

καὶ πάλιν,

δεινότατος ἀπομάκτης τε μεγάλων συμφορῶν.

Ἀπόλλων πατρῷος, ὁ Πύθιος. προσηγορία τίς ἐστι τοῦ θεοῦ, πολλῶν καὶ ἄλλων οὐσῶν. τὸν δὲ Ἀπόλλωνα κοινῶς πατρῷον τιμῶσιν Ἀθηναῖοι ἀπὸ Ἴωνος. τούτου γὰρ οἰκήσαντος τὴν Ἀττικήν, ὡς Ἀριστοτέλης φησί, τοὺς Ἀθηναίους Ἴωνας κληθῆναι, καὶ Ἀπόλλων πατρῷος αὐτοῖς ὀνομασθῆναι.

Ἀπόμισθοι, ἄμισθοι, οἱ μισθῷ ἔργον τι διαπραξάμενοι καὶ ἄμισθοι ἀφειμένοι. κεῖται δὲ ἡ λέξις παρὰ Λυσίᾳ ἐν τῷ πρὸς Καλλικλέα. ἀπόμισθοι δὲ παρὰ Δημοσθένει ἐν Φιλιππικοῖς καὶ ἐν τῷ κατ' Ἀριστοκράτους οἱ μισθὸν μὴ λαμβάνοντες.

Ἀπὸ μισθωμάτων. Δίδυμός φησιν ὁ γραμματι-
39 κός, ἀντὶ τοῦ ἐκ τῶν τεμενικῶν προσόδων. ἑκάστῳ γὰρ θεῷ πλέθρα γῆς ἀπένεμον, ἐξ ὧν μισθουμένων αἱ εἰς τὰς θυσίας ἐγίνοντο δαπάναι. οὐ γὰρ κατ' εὐσέβειαν ἔθυον τὰ ἱερεῖα, ἀλλὰ μισθούμενοι.

Ἀπονομή, ἡ ἀπόμοιρα, ὡς μέρος τι τῶν περιγιγνομένων ἐκ τῶν μετάλλων λαμβανούσης τῆς πόλεως. ἢ ὡς διαιρουμένων εἰς πλείους μισθωτούς, ἵν᾽ ἕκαστος λάβῃ τι μέρος. Δείναρχος ἐν τῷ πρὸς τοὺς Λυκούργου παῖδας πολλάκις.

Ἀποπεφασμένον, ἀπειρημένον, ἢ ἀντὶ τοῦ ἀποδεδειγμένον. Δημοσθένης κατὰ Νεαίρας, ἀποπεφασμένως πωλοῦνται, ἀντὶ τοῦ φανερῶς.

Ἀποπομπάς, ἀποτροπάς· Ἰσοκράτης Φιλίππῳ. ἀποπομπαῖοί τινες ἐκαλοῦντο θεοί, περὶ ὧν Ἀπολλόδωρος (24) ἐν ἕκτῳ περὶ θεῶν διείλεκται.

Ἀποῤῥέξαντες, ἀπομερίσαντες, ἀπόμοιράν τινα δόντες. Ἰσαῖος ἐν τῇ ὑπὲρ Νικίου συνηγορίᾳ. ἔστι δὲ κἀν τῇ κωμῳδίᾳ.

Ἀπόῤῥητα, τὰ ἀπειρημένα ἐν τοῖς νόμοις. Δημοσθένης ὑπὲρ Κτησιφῶντος. τίνα δὲ ἦν ἅπερ ἀπείρηται 40 λέγειν εἰς ἀλλήλους, δεδήλωκε Λυσίας ἐν τῷ κατὰ Θεομνήστου, εἰ γνήσιος ὁ λόγος.

Ἀπορώτατος, ἀντὶ τοῦ πρὸς ὃν οὐδένα πόρον εὑρεῖν ἐστίν. Ἰσαῖος ἐν τῷ ὑπὲρ Μνησιθέου θυγατρός.

Ἀποσάξαντα, ἀντὶ τοῦ φράξαντα τὸ τρῆμα καὶ ἀποπληρώσαντα. Ἡρόδοτος ἐν τῇ ἕκτῃ.

Ἀποστασίου, δίκη τίς ἐστιν κατὰ τῶν ἀπελευθερωθέντων δεδομένη τοῖς ἀπελευθερώσασιν, ἐὰν ἀφιστῶνταί τι ἀπ᾽ αὐτῶν, ἢ ἕτερον ἐπιγράφωνται προστάτην, καὶ ἃ κελεύουσιν οἱ νόμοι μὴ ποιῶσιν. καὶ τοὺς μὲν ἁλόντας δεῖ δούλους εἶναι, τοὺς δὲ νικήσαντας τελέως ἤδη ἐλευθέρους. πολλάκις δ᾽ ἐστὶ παρὰ τοῖς ῥήτορσι, παρὰ τῷ Λυσίᾳ ἐν τῷ πρὸς Ἀριστόδημον καὶ Ὑπερίδῃ ἐν τῷ κατὰ Δημητρίας ἀποστασίου. Ἀριστοτέλης δ᾽ ἐν Ἀθηναίων πολιτείᾳ περὶ τοῦ Πολεμάρχου γράφει ταυτί· οὗτος δὲ εἰσάγει δίκας τάς τε τοῦ ἀποστασίου καὶ ἀπροστασίου καὶ κλήρων καὶ ἐπικλήρων.

Ἀποστησάμενον, ἀντὶ τοῦ πρὸς σταθμὸν παρα- 41 λαβόντα. Δημοσθένης ἐν τῷ πρὸς Τιμόθεον.

Ἀποστολεῖς, οἱ ἐπὶ τῆς ἐκπομπῆς τῶν τριήρων ἀποδεδειγμένοι. Δημοσθένης ὑπὲρ Κτησιφῶντος καὶ Φιλόχορος ἐν τῇ ἑβδόμῃ. ἀπόστολοι δ' εἰσὶν αἱ τῶν νεῶν ἐκπομπαί. ὁ αὐτὸς ῥήτωρ ἐν πρώτῳ Φιλιππικῶν.

Ἀποστροφὴν, ἀντὶ τοῦ καταφυγὴν, Δημοσθένης Φιλιππικοῖς.

(25) Ἀπόταξις, τὸ χωρὶς τετάχθαι τοὺς πρότερον ἀλλήλοις συντεταγμένους εἰς τὸ ὑποτελεῖν τὸν ὡρισμένον φόρον. Ἀντιφῶν ἐν τῷ περὶ τοῦ Σαμοθρᾳκῶν φόρου.

Ἀποτιμηταὶ, καὶ ἀποτίμημα, καὶ ἀποτιμᾶν, καὶ τὰ ἀπ' αὐτῶν. οἱ μισθούμενοι τὰς τῶν ὀρφανῶν οἰκίας παρὰ τοῦ ἄρχοντος ἐνέχυρα τῆς μισθώσεως παρείχοντο· ἔδει δὲ τὸν ἄρχοντα ἐπιπέμπειν τινὰς ἀποτιμησομένους τὰ ἐνέχυρα. τὰ μὲν οὖν ἐνέχυρα τὰ ἀποτιμούμενα ἐλέγοντο ἀποτιμήματα· οἱ δὲ πεμπόμενοι ἐπὶ τῷ ἀποτιμήσασθαι ἀποτιμηταί· τὸ δὲ πρᾶγμα ἀποτιμᾶν. εἰώθεσαν
42 δὲ καὶ οἱ τότε, εἰ γυναικὶ γαμουμένῃ προῖκα διδοῖεν οἱ προσήκοντες, αἰτεῖν παρὰ τοῦ ἀνδρὸς ὥσπερ ἐνέχυρόν τι τῆς προικὸς ἄξιον, οἷον οἰκίαν ἢ χωρίον. ἐλέγετο δὲ ὁ μὲν δοὺς τὸ ἀποτίμημα ἐνεργητικῶς ἀποτιμᾶν· ὁ δὲ λαβὼν ἀποτιμᾶσθαι· ὁ δ' αὐτὸς λόγος καὶ ἐπὶ τῶν ἄλλων ὀφλημάτων. Δημοσθένης ἐν τῷ κατὰ Ὀνήτορος δευτέρῳ καὶ Λυσίας ἐν τῷ πρὸς Διογένην ὑπὲρ μισθώσεως οἴκου, εἰ γνήσιος ὁ λόγος.

Ἀπόταφος, ἀντὶ τοῦ ἀπεστερημένος τῶν προγονικῶν τάφων. Δείναρχος ἐν τῇ κατ' Ἀγασικλέους εἰσαγγελίᾳ.

Ἀποτειχίσαι, τὸ ἀπολαβεῖν τείχει καὶ ἀποκλεῖσαι τῆς ἐξόδου. ἀποτετειχισμένος δὲ ὁ ἀπειλημμένος καὶ ἀποκεκλεισμένος τῷ τείχει. Ἀντιφῶν ἐν τῇ πρὸς τὴν Δημοσθένους γραφὴν ἀπολογίᾳ καὶ Θουκυδίδης.

Ἀπὸ τοῦ πράγματος, ἀντὶ τοῦ ἄπωθεν. Δημοσθένης κατ' Ἀνδροτίωνος.

Ἀπόφασις, τὸ ἀποφαίνειν διὰ γραμμάτων κατὰ
43 μέρος ὁπόσην οὐσίαν ἔχει. ὅπερ ἐν ταῖς ἀντιδόσεσι μά-

λιστα γίνεται. Δημοσθένης ἐν τῷ πρὸς Φαίνιππον πολλάκις. ἅπαξ μόνον ἀπογραφὴν τὸ αὐτὸ τοῦτο κέκληκεν.

Ἀποφορὰν, ἀντὶ τοῦ ἀπενεγκεῖν, καὶ διάστημα ποιῆσαι μεταξύ. Ἰσαῖος ἐν τῷ πρὸς Ὀργεῶνας, ἐν ᾧ φησιν οὕτως· εἴπερ γοῦν ὥριζον ταῖς ἀποφοραῖς ταύ- (26) ταις τῶν παίδων, ἀλλότριον εἶναι τὸ χωρίον.

Ἀποψηφίζονται, ἀντὶ τοῦ καταδικάζουσιν αὐτὸν μὴ εἶναι πολίτην. Δείναρχος ἐν τῷ κατ' Ἀρχεστρατίδου. καὶ ἀποψήφισιν δὲ τὸ πρᾶγμα λέγει Δημοσθένης ἐν τῇ πρὸς Εὐβουλίδην ἐφέσει.

Ἀπροβούλευτον, τὸ μὴ πρότερον εἰς τὴν βουλὴν, ἀλλ' εὐθὺς εἰς τὸν δῆμον εἰσφερόμενον ψήφισμα. ἐν τῷ κατ' Ἀνδροτίωνος νόμος παράκειται ταῦτα δηλῶν.

Ἀπρόσκλητον, τὴν οὐ προσκεκλημένην. Ὑπερίδης ἐν τῷ κατὰ Ἀθηνογένους δευτέρῳ.

Ἀπροστασίου, εἶδος δίκης κατὰ τῶν προστάτην μὴ νεμόντων μετοίκων. ᾑρεῖτο γὰρ ἕκαστος ἑαυτῷ τῶν πολιτῶν τινὰ προστησόμενον περὶ πάντων τῶν ἰδίων 44 καὶ τῶν κοινῶν. Ὑπερίδης ἐν τῷ κατ' Ἀρισταγόρας ἀπροστασίου δευτέρῳ.

Ἀπρότων, Δείναρχος ἐν τῷ κατὰ Πυθέου· ἐμπεπηδηκότων τῶν ῥητόρων ὥσπερ Ἀπρότων εἰς τὸ ἐμπόριον. μή ποτε γραφικὸν ἁμάρτημα, καὶ δεῖ γράφειν, ὥσπερ Ἀλησίπων. ἔν τισι δὲ γέγραπται, ὥσπερ παρνόπων. εἰσὶ δὲ οἱ πάρνοπες εἶδος ἀκρίδος.

Ἀραφήνιος, Ἰσαῖος ἐν τῷ κατ' Ἐλπαγόρου καὶ Δημοφάνους. δῆμός ἐστι φυλῆς τῆς Αἰγηΐδος.

Ἀργᾶς, Αἰσχίνης περὶ τῆς ἀποδόσεως. πιθανώτερόν ἐστι λέγειν ὅτι Δωριεῖς, μάλιστα δ' Ἀργεῖοι, τὸν ὄφιν ἀργᾶν ἐκάλουν, ὡς Ἀχαιὸς ἐν Ἀδράστῳ. Τίμαρχος δὲ ὁ Ῥόδιος οὐ κατὰ γλῶτταν καλεῖσθαι τὸν ὄφιν ἀργᾶν φησιν, ἀλλὰ γένος τι εἶναι ὄφεων τοὺς ἀργᾶς. λέγεσθαι οὖν εἰκὸς τὸν Δημοσθένην, ἐπιτροπῆς τοῖς ἐπιτρόποις δίκας λαγχάνοντα, ὄφιν, διὰ τὸ θηριῶδες. καὶ αὐτὸς τοὺς τοιούτους ὄφεσιν εἰκάζει ἐν τῷ κατ' Ἀρι-

στογείτονος. ἐν μέν τοι τοῖς Ἀττικιανοῖς ἐγέγραπτο,
45 ἅρπαξ. ἔνιοι δὲ τοῦ δράκοντος εἶναί φασι τὸ ἀργᾶν ἐπίθετον.

(27) Ἀργαῖος, Δημοσθένης ἐν τῷ κατ' Ἀριστοκράτους. περὶ τούτου καὶ Θεόπομπος ἐν τῷ πρώτῳ τῶν Φιλιππικῶν λέγει· τὸν Ἀγγέλαον καλοῦσι καὶ Ἀργαῖον καὶ Παυσανίαν.

Ἀργινοῦσαι, νῆσοι κείμεναι ἔναντι τῆς Λέσβου, ἀπὸ Ἀργίνου τινός.

Ἄργουρα, Δημοσθένης κατὰ Μειδίου. ἔστι δὲ πόλις τῆς Εὐβοίας ἐν τῇ Χαλκιδικῇ κειμένη, ὡς Ἀριστοτέλης, ὁ Χαλκιδεὺς ἐν τῷ περὶ Εὐβοίας.

Ἀργυριοθήκη, Δείναρχος ἐν τῷ κατὰ Προξένου βλάβης. διττὰ ἦν γραμματίδια, οἷς ἐχρῶντο Ἀθηναῖοι, τὰ μὲν ὥστε γράφειν μόνον τι ἐν αὐτοῖς, τὰ δὲ ὥστε καὶ ἀργύριον κατατίθεσθαι, ἅπερ καὶ κιβώτια ἐκάλουν, τὰ δὲ ἄλλα μαρτύρια.

Ἀργυρῖτις γῆ, καὶ χρυσῖτις, ἡ ἐργαζομένη χρυσὸν καὶ ἄργυρον.

Ἀργυροκοπεῖον, Ἀντιφῶν ἐν τῷ πρὸς Νικοκλέα, ὅπου κόπτεται τὸ νόμισμα· ὃ νῦν σημαντήριόν τινες καλοῦσιν.

46 Ἀργυρόπους δίφρος. ὁ Ξέρξου, ὃς αἰχμάλωτος ἐπεκαλεῖτο. ἐφ' οὗ καθεζόμενος ἐθεώρει τὴν ναυμαχίαν. ἀνέκειτο δὲ εἰς τὸν Παρθενῶνα τῆς Ἀθηνᾶς.

Ἄρδηττος, Λυσίας ἐν τῷ πρὸς Λεπτίνην. τόπος Ἀθήνησιν ὑπὲρ τὸ στάδιον τὸ παναθηναϊκόν, πρὸς τῷ δήμῳ τῷ ὑπένερθεν Ἀγρυλέων. ἐν τούτῳ, φασί, δημοσίᾳ πάντες ὤμνυον Ἀθηναῖοι τὸν ὅρκον τὸν Ἡλιαστικόν. ὠνομάσθη δὲ ἀπὸ Ἀρδήττου ἥρωος ἀρχαίου, ὃς Ἀθηναίους πρῶτος ἐξώρκισεν. Θεόφραστος δ' ἐν τοῖς περὶ νόμων δηλοῖ ὡς καταλέλυτο τὸ ἔθος τοῦτο.

Ἀρετή, ἀντὶ τοῦ εὐδοξία, Θουκυδίδης ἐν πρώτῳ.

Ἄρθμιος, ὄνομα κύριον, δοῦλός τινος βασιλέως.

Ἀριοβαρζάνης. σατράπης Φρυγίας ἀποδειχθεὶς οὗτος παρὰ Ξέρξου ἀπέστη, ὃς καὶ ἀποστείλας λαὸν τοὺς πολεμήσαντας αὐτῷ, καὶ χειρωσάμενος ἐσταύρωσεν.

Ἀριστεύς, ὄνομα καὶ τοῦτο κύριον. (28)

Ἀρίστυλλα, Ἀριστογείτονος ἦν ἀδελφή.

Ἀριστίων, Ὑπερίδης κατὰ Δημοσθένους. οὗτος Σάμιος μέν ἐστι, ἢ Πλαταιεύς, ὡς Δΐυλλός φησιν, ἐκ 47 μειρακυλλίου ἑταῖρος Δημοσθένους. ἐπέμφθη δ' ὑπ' αὐτοῦ πρὸς Ἡφαιστίωνα ἕνεκα διαλλαγῶν, ὥς φησι Μαρσύας ἐν πέμπτῳ τῶν περὶ Ἀλέξανδρον.

Ἀρκτεῦσαι, Λυσίας ἐν τῷ ὑπὲρ Φρυνίχου θυγατρὸς, εἰ γνήσιος, τὸ καθιερωθῆναι πρὸ γάμων τὰς παρθένους τῇ Ἀρτέμιδι τῇ Μουνυχίᾳ, ἢ τῇ Βραυρωνίᾳ. τὰ δὲ συντείνοντα εἰς τὸ προκείμενον εἴρηται παρά τε ἄλλοις καὶ Κρατίνῳ ἐν τοῖς ψηφίσμασιν. ὅτι δὲ αἱ ἀρκτευόμεναι παρθένοι ἄρκτοι καλοῦνται, Εὐριπίδης Ὑψιπύλῃ, Ἀριστοφάνης Λημνίαις καὶ Λυσιστράτῃ.

Ἀρκτοῦρος, καὶ Ἀρκτοφύλαξ, ὁ Βοώτης ὀνομαζόμενος. Λυσίας ἐν τῷ κατὰ Φιλίππου ἐπιτροπῆς. ἰδίως δὲ ὁ ὑπὸ τὴν ζώνην αὐτοῦ ἀστήρ. Ἄρατος καὶ Ἡσίοδος Ἔργοις δηλοῦσιν.

Ἀρκυωρὸς, Λυκοῦργος ἐν τῇ κατὰ Μενεσαίχμου εἰσαγγελίᾳ. ὁ τὰς ἄρκυς, τουτέστι τὰ λίνα, φυλάττων. ἄρκυς λέγονται πάντα τὰ κυνηγετικὰ λίνα. Ξενοφῶν Κυνηγετικῷ, Κρατῖνος Θρᾴτταις. 48

Ἁρμοσταὶ, οἱ ὑπὸ Λακεδαιμονίων εἰς τὰς ὑπηκόους πόλεις ἄρχοντες ἐκπεμπόμενοι, ὡς Ἐρατοσθένης ἐν τοῖς περὶ ἀγαθῶν καὶ κακῶν φησι. Δημοσθένης ὑπὲρ Κτησιφῶντος.

Ἀῤῥηφορεῖν, Δείναρχος κατὰ Πυθέου. τέσσαρες μὲν ἐχειροτονοῦντο δι' εὐγένειαν ἀῤῥηφόροι, δύο δὲ ἐκρίνοντο, αἳ διὰ τῆς ὑφῆς τοῦ πέπλου ἦρχοντο καὶ τῶν ἄλλων τῶν περὶ αὐτόν. λευκὴν δ' ἐσθῆτα ἐφόρουν· καὶ εἰ χρυσία περιέθεντο, ἱερὰ ταῦτα ἐγίνοντο.

Ἀρτεμισία, Δημοσθένης περὶ τῆς Ῥοδίων ἐλευ-
(29)θερίας. δύο γεγόνασιν αὗται, Καρικαὶ γένος καὶ βασιλίδες ἀμφότεραι· ἡ μὲν πρώτη κατὰ τὰ Περσικά, θυγάτηρ δ' ἦν Λυγδάμιδος, ἧς καὶ Ἡρόδοτος μνημονεύει· ἡ δὲ νεωτέρα, ἧς ὁ Δημοσθένης, θυγάτηρ μὲν ἦν Ἑκατόμνου, γυνὴ δὲ καὶ ἀδελφὴ Μαυσώλου, ἥν φησι Θεόπομπος φθινάδι νόσῳ ληφθεῖσαν διὰ τὴν λύπην τὴν ἐπὶ τοῦ ἀνδρὸς καὶ ἀδελφοῦ Μαυσώλου ἀποθανεῖν.

Ἀρτεμίσιον, ἰδίως τὸ τῆς Ἀρτέμιδος ἄγαλμα,
49 Ὑπερίδης Δηλιακῷ. λέγεται δὲ καὶ ἀκρωτήριόν τι τῆς Εὐβοίας, ὡς Δημοσθένης ὑπὲρ Κτησιφῶντος.

Ἀρύμβας, Ἀλκέτου μὲν υἱός, Μολοττῶν δὲ βασιλεύς. Δημοσθένης Φιλιππικοῖς.

Ἀρχαιρεσιάζειν, τὸ ἀξιοῦν ἑαυτὸν αἱρεθῆναι ἄρχοντα. Δείναρχος ἐν τῷ κατὰ Πολυεύκτου.

Ἀρχαίως, Ἰσοκράτης Πανηγυρικῷ· τά τε παλαιὰ καινῶς διελθεῖν καὶ περὶ τῶν νεωστὶ γενομένων ἀρχαίως εἰπεῖν. ἔνιοι μέν φασι σημαίνειν ἀρχαιοτρόπως, τουτέστιν ἀρχαιοτέροις ὀνόμασι χρῆσθαι. Θουκυδίδης ἐν τῇ πρώτῃ τῶν ἱστοριῶν τρόπον τινὰ ἐξηγήσατο. φησὶ περὶ τῶν ἀρχαίων πραγμάτων τοὺς νεωτέρους διεξέρχεσθαι. Περὶ μὲν γὰρ τῶν καθ' ἡμᾶς γεγενημένων, φησί, τοὺς ἀκριβέστατα λέγοντας πιστοτάτους ἡγούμεθα, περὶ δὲ τῶν παλαιῶν τοὺς οὕτω διεξιόντας ἀπιθανωτάτους εἶναι νομίζομεν, ὑπολαμβάνοντες οὔτε τὰς πράξεις ἁπάσας οὔτε τῶν λόγων τοὺς πλείστους εἰκὸς εἶναι
50 μνημονεύεσθαι διὰ τοσούτων. Δημοσθένης μὲν Φιλιππικοῖς φησιν, οὕτω δ' ἀρχαίως εἶχον, μᾶλλον δὲ πολιτικῶς. ἀντὶ τοῦ ἁπλῶς.

Ἀρχὴ ἄνδρα δείκνυσι, Δημοσθένης προοιμίοις δημηγορικοῖς. Σοφοκλῆς μὲν οὖν ἐν ταῖς ἐλεγείαις Σόλωνός φησιν αὐτὸ εἶναι ἀπόφθεγμα. Θεόφραστος δ' ἐν τῷ παροιμιῶν καὶ Ἀριστοτέλης Βίαντος.

Ἀρχὴν ἰᾶσθαι πολὺ λῷον ἤγε τελευτήν.
(30) ἄλλη παροιμία. δηλοῖ δέ, ὡς ἀρχόμενα τὰ δεινὰ δεῖ μᾶλλον πειρᾶσθαι κωλύειν ἢ ἀκμάσαντα καὶ τελειωθέντα.

Ἀρχιδάμιος πόλεμος, Λυσίας ἐν τῷ κατ' Αὐτάνδρου καὶ Πυθέου ξενίας. τὰ πρῶτα δέκα ἔτη τοῦ Πελοποννησιακοῦ πολέμου Ἀρχιδάμιος ἐκλήθη πόλεμος, ὡς ἔοικεν, ἀπὸ τοῦ τὸν Ἀρχίδαμον εἰς τὴν Ἀττικὴν ἐμβαλεῖν, καθὰ Θουκυδίδης καὶ Ἔφορος καὶ Ἀναξιμένης φασίν.

Ἀσήμαντα, τὰ ὑφ' ἡμῶν λεγόμενα ἀσφράγιστα. σημεῖα γὰρ ἔλεγον τὰς σφραγῖδας. Ὑπερίδης ἐν τῷ κατ' Ἀντίου.

Ἀσπασία, Λυσίας ἐν τῷ πρὸς Αἰσχίνην τὸν Σω-
κρατικὸν διαλεγόμενος ἐπιγραφομένῳ Ἀσπασίᾳ. μνη- 51
μονεύουσι δ' αὐτῆς πολλάκις καὶ οἱ ἄλλοι Σωκρατικοὶ καὶ Πλάτων ἐν τῷ Μενεξένῳ τὸν Σωκράτην παρ' αὐτῆς φησι μαθεῖν τὰ πολιτικά. ἦν δὲ τὸ μὲν γένος Μιλησία, δεινὴ δὲ περὶ λόγους. Περικλέους δέ φασιν αὐτὴν διδάσκαλόν τε ἅμα καὶ ἐρωμένην εἶναι. δοκεῖ δὲ δυοῖν πολέμων αἰτία γεγονέναι, τοῦ τε Σαμιακοῦ καὶ τοῦ Πελοποννησιακοῦ, ὡς ἔστι μαθεῖν παρά τε Δούριδος τοῦ Σαμίου καὶ Θεοφράστου ἐκ τοῦ τετάρτου τῶν πολιτικῶν καὶ ἐκ τῶν Ἀριστοφάνους Ἀχαρνέων. δοκεῖ ἐξ αὐτῆς ἐσχηκέναι ὁ Περικλῆς τὸν ὁμώνυμον αὐτῷ Περικλέα τὸν νόθον, ὡς ἐμφαίνει καὶ Εὔπολις ἐν τοῖς Δήμοις. Λυσικλεῖ δὲ τῷ δημαγωγῷ συνοικήσασα πορίστην ἔσχεν, ὡς ὁ Σωκρατικὸς Αἰσχίνης φησίν.

Ἀσταθμητότατον, περὶ οὗ οὐδεὶς ἂν δύναιτο τεκμήρασθαι, οὐδὲ σταθμήσασθαι, τί ποτε διανοεῖται, ἢ τί πράξει. Δημοσθένης ἐν τῷ περὶ παραπρεσβείας.

Ἄστικτον χωρίον, τὸ μὴ ὑποκείμενον δανειστῇ.
ὅταν γὰρ ὑποκέηται, εἴωθεν ὁ δανείσας αὐτὸ τοῦτο δη- 52
λοῦν διὰ γραμμάτων ἐπόντων τῷ χωρίῳ. τὸ δ' αὐτὸ καὶ ἐπ' οἰκίας γίνεται. Λυσίας ἐν τῷ πρὸς Αἰσχίνην τὸν Σωκρατικόν.

Ἀστράβη, ἡ ἡμίονος, Δημοσθένης ἐν τῷ κατὰ
Μειδίου. μή ποτε δὲ καὶ πᾶν ὑποζύγιον, ἐφ' οὗ ἄνθρω- (31)
ποι ὀχοῦνται, οὕτως ἐκαλεῖτο.

Ἀστυνόμος, Δημοσθένης κατὰ Τιμοκράτους. δέκα φησὶν εἶναι τοὺς ἀστυνόμους Ἀριστοτέλης ἐν τῇ Ἀθηναίων πολιτείᾳ, πέντε μὲν Πειραιεῖ, πέντε δ' ἐν ἄστει. τούτοις δέ φησι μέλειν περί τε τῶν αὐλητρίδων καὶ ψαλτριῶν καὶ τῶν κοπρολόγων καὶ τῶν τοιούτων.

Ἀσυνθετώτατον, Δημοσθένης ἐν τῷ περὶ παραπρεσβείας ἐπ' ὄχλου ἔταξε τοὔνομα, ἤτοι ἀντὶ τοῦ ἀπιστότατον καὶ ἀβεβαιότατον, καὶ πίστεις οὐ τιθέμενον διὰ τὸ ἀβέβαιον, ἢ ἀνομόλογον καὶ ἀσύμφωνον· ὁμολογίαι γὰρ αἱ συνθῆκαι. ἢ ἀντὶ τοῦ ἀσυνετώτατον, ὅ πέρ ἐστιν ἀνοητότατον. ἢ ἀντὶ τοῦ ὃν μάλιστα οὐκ ἂν δύ-
53 ναιτό τις συνιέναι τί ποτε φρονεῖ. Ὅμηρος,

σὺ δὲ σύνθεο καί μευ ἄκουσον.

Ἀταρνεύς, πολίχνιόν τι καταντικρὺ Λέσβου κείμενον. Ἰσοκράτης Πανηγυρικῷ, Ἡρόδοτος ἐν ἕκτῃ.

Ἀτεχνῶς, περισπωμένως μὲν ἀντὶ τοῦ σαφῶς, ἢ βεβαίως, ἢ ἀσφαλῶς, ἢ φανερῶς, παροξυτόνως δέ, ἀντὶ τοῦ ἀμελῶς καὶ ἄνευ τέχνης.

Ἀτίμητος ἀγὼν καὶ τιμητός. ὁ μὲν τιμητός, ἐφ' ᾧ τίμημα ὡρισμένως ἐκ τῶν νόμων οὐκ ἔστιν, ἀλλὰ τοὺς δικαστὰς ἔδει τιμᾶσθαι ὅ τι χρὴ παθεῖν ἢ ἀποτῖσαι· ὁ δὲ ἀτίμητος τοὐναντίον, ᾧ πρόεστιν ἐκ τῶν νόμων ὡρισμένως τίμημα, ὡς μηδὲν δεῖν τοὺς δικαστὰς διατιμῆσαι. Αἰσχίνης κατὰ Κτησιφῶντος καὶ Δημοσθένης κατὰ Μειδίου.

Ἄτιμος. τοῦτο ἰδίως ἔταξε Δημοσθένης Φιλιππικοῖς. ἤγουν ὃν ἄν τις ἀποκτείνας οὐχ ὑπόκειται ἐπιτιμίῳ. φησὶ γὰρ περὶ Ἀρθμίου λέγων ὅτι ἐψηφίσαντο Ἀθηναῖοι ἐχθρὸν εἶναι καὶ πολέμιον τοῦ δήμου τῶν Ἀθηναίων καὶ τῶν συμμάχων, αὐτὸν καὶ γένος,
54 καὶ ἄτιμον εἶναι. εἶτ' ἐπιφέρει ὥσπερ ἐξηγούμενος·
(32) τοῦτο δ' ἐστὶν οὐχ ἣν ἄν οὕτω τις ἂν φήσειεν ἀτιμίαν, τί γὰρ τῷ Ζελείτῃ [τοῦτ' ἔμελεν] τῶν Ἀθηναίων κοινῶν εἰ μὴ μεθέξειν ἔμελλεν; ἀλλ' ἐν τοῖς φονικοῖς γέγραπται νόμοις· ὑπὲρ ὧν ἂν μὴ διδῷ [δίκας,]

φόνου δικάσασθαι, καὶ ἄτιμος φησὶ τεθνάτω. τοῦτο δὴ λέγει, καθαρὸν τὸν τούτων τινὰ ἀποκτείναντα εἶναι.

Ἄττα, ἀντὶ μὲν τοῦ ὅσα, ἢ ἅτινα. Ἀντιφῶν ἐν τῷ περὶ τοῦ Λινδίων φόρου. ἀντὶ δὲ τοῦ τινὰ, ἢ ποῖά τινα, Δημοσθένης Φιλιππικοῖς. ἐνιαχοῦ δὲ παρέλκει τὸ ἄττα· ἐν δὲ τῷ περὶ παραπρεσβείας Δημοσθένης ἐπὶ τοῦ ὅσα ἔλαβε τὴν λέξιν. Φερεκράτης μὲν ἐν Χείρωνι ἐπ' ἀριθμοῦ ἔταξεν· τοῖς δέκα ταλάντοις ἄλλα προθῇς ἄττα πεντήκοντα. Ἀριστοφάνης δὲ ἐπὶ χρόνου·

πύθου χελιδὼν πηνίκ' ἄττα φαίνεται.

Ἄττις, Δημοσθένης ὑπὲρ Κτησιφῶντος. ὁ Ἄττις παρὰ Φρυξὶ μάλιστα τιμᾶται ὡς πρόπολος τῆς μητρὸς τῶν θεῶν. τὰ δὲ περὶ αὐτὸν δεδήλωκε Νεάνθης. μυστικὸς δὲ ὁ λόγος.

Ἀττικοῖς γράμμασι, Δημοσθένης κατὰ Νεαίρας,
ἀντὶ τοῦ παλαιοῖς· τὴν γὰρ τῶν εἴκοσι τεσσάρων στοι- 55
χείων γραμματικὴν ὀψέ ποτε παρὰ τοῖς Ἴωσιν εὑρεθῆναι. Θεόπομπος δ' ἐν τῇ εἰκοστῇ πέμπτῃ τῶν Φιλιππικῶν ἐσκευωρῆσθαι λέγει τὰς πρὸς τὸν βάρβαρον συνθήκας, ἃς οὐκ Ἀττικοῖς γράμμασιν ἐστηλιτεῦσθαι, ἀλλὰ τοῖς τῶν Ἰώνων.

Αὐθέντης, ὁ αὐτόχειρ, ἢ ὁ αὐτὸν ἀναιρῶν. διὸ παρ' Ἰσοκράτει αὐθέντης. Λυσίας δὲ ἐν τῷ ὑπὲρ τοῦ Ἐρατοσθένους πρὸς Ἰσόδημον ἰδίως ἔταξεν ἐπὶ τῶν Τριάκοντα, καίτοι δι' ἑτέρων εἰργάζοντο τοὺς φόνους. ὁ γὰρ αὐθέντης αἰεὶ τὸν αὐτόχειρα δηλοῖ.

Αὔλειος, ἡ ἀπὸ τῆς ὁδοῦ πρώτη θύρα τῆς οἰκίας, ὡς δηλοῖ Μένανδρος.

Αὔλια, Λυσίας ἐν τῇ κατὰ Διοδότου, καὶ Αἰσχί- (33)
νης κατὰ Κτησιφῶντος. ἤτοι ἀντὶ τοῦ ἐπαύλεις, ἢ ἀντὶ τοῦ τὰς μικρὰς αὐλάς.

Αὐλιζόμενοι, ἀντὶ τοῦ κοιμώμενοι. Ἀντιφῶν περὶ ὁμονοίας.

Αὐτοδικεῖν, ἀντὶ τοῦ ἑαυτοῖς τὰ δίκαια ὁρίζειν. Δείναρχος ἐν τῷ κατὰ Κλεομέδοντος.

Αὐτοκλείδης, Αἰσχίνης κατὰ Τιμάρχου. Κηδω-
56 νίδης καὶ Αὐτοκλείδης καὶ Θέρσανδρος ὡς παιδερασταὶ σφοδροὶ διεσύροντο, ὡς καὶ Ἀριστογείτων κατὰ Τιμάρχου.

Αὖ, Δημοσθένης ἀντὶ τοῦ πάλιν ἐν τῷ κατὰ Ἀφόβου πρώτῳ.

Αὐτολήκυθοι, Δημοσθένης κατὰ Κόνωνος, ἤτοι ἀντὶ τοῦ εὐζώνους τινὰς καὶ ἑτοίμους πᾶν ὁτιοῦν ποιεῖν καὶ ὑπομένειν, ἢ ἀντὶ τοῦ πένητας καὶ μηδὲν ἄλλο κεκτημένους ἢ ληκύθους· ἢ αὐτουργούς· ἢ ἀντὶ τοῦ εἰς πληγὰς ἑτοίμους, καὶ οἷον τύπτοντας καὶ μαστιγοῦντας καὶ ὑβρίζοντας· ἢ λέγοι αὐτοὺς ἐκ προχείρου διδόντας ἀργύριον καὶ ἑτοίμους πρὸς τὰς μίξεις. καὶ γὰρ εἶχον ἐν ταῖς ληκύθοις ἀργύριον. τὸ ὄνομα καὶ παρὰ Μενάνδρῳ ἔν τε Ἡνιόχῳ καὶ Δακτυλίῳ. ὅτι δὲ εἶχον ἐν ταῖς ληκύθοις ἀργύριον ἐνίοτε, Δίφιλος τῷ Ἀποβάτῃ. ὅτι δὲ λύσαντες τὴν λήκυθον ἐχρῶντο τῷ ἱμάντι πρὸς τὸ μαστιγοῦν, Μένανδρος Τροφωνίῳ.

Αὐτόλυκος. Λυκούργου λόγος ἐστὶ κατ' Αὐτολύκου τοῦ Ἀρεοπαγίτου. οὗτος δὲ τοὺς οἰκείους ὑπεκτι-
57 θέμενος ἐν τοῖς Χαιρωνικοῖς ἑάλω καὶ κατεψηφίσαντο αὐτοῦ οἱ δικασταί, ὡς ὁ αὐτὸς δηλοῖ ῥήτωρ ἐν τῷ κατὰ Λεωκράτους.

Αὐτομαχεῖν, τὸ δι' ἑαυτοῦ δικάζεσθαι, ἀλλὰ μὴ δι' ἑτέρου. οἷον ἐάν τις εἰς πρατῆρα ἀνάγῃ, πρὸς ἐκεῖνον ἀποφαίνει τὴν δίκην οὖσαν· καὶ ἐάν τις παρέχῃ τὸν διαμαρτυροῦντα, μὴ εἰσαγώγιμον εἶναι τὴν δίκην, αὐτὸς
(34) μὲν γὰρ οὐκέτι ἀγωνίζεται, πρὸς δὲ τὸν διαμαρτυρήσαντα ὁ ἀγών ἐστι. Λυσίας ἐν τῷ κατ' Εὐθυκλέους χωρίου ἐξούλης.

Αὐτόχθονες, οἱ Ἀθηναῖοι. Δημοσθένης ἐν τῷ περὶ τῆς παραπρεσβείας· Μόνοι γὰρ τῶν πάντων αὐτόχθονες ὑμεῖς. Ἀπολλόδωρος ἐν τοῖς περὶ Θεῶν κληθῆναί φησι αὐτοὺς αὐτόχθονας, ἐπεὶ τὴν χθόνα, του-

τέστι τὴν γῆν, ἀργὴν οὖσαν πρῶτοι εἰργάσαντο. οἱ δὲ, διὰ τὸ μὴ εἶναι ἐπήλυδας. ὁ δὲ Πίνδαρος καὶ ὁ τὴν Δαναΐδα πεποιηκὼς φασιν, Ἐριχθόνιον ἐξ Ἡφαίστου καὶ Γῆς φανῆναι. αὐτόχθονες δὲ καὶ Ἀρκάδες ἦσαν, ὡς Ἑλλάνικός φησι, καὶ Αἰγινῆται, καὶ Θηβαῖοι.

Ἀφαίρεσις, ἰδίως λέγεται ἡ εἰς ἐλευθερίαν. Ὑπε- 58
ρίδης ἐν τῷ κατ' Ἀρισταγόρας.

Ἀφαρεύς. οὗτος Ἱππίου μὲν ἦν υἱὸς, ἐνομίζετο δὲ Ἰσοκράτους.

Ἀφανὴς οὐσία καὶ φανερά. ἀφανὴς μὲν ἡ ἐν χρήμασι καὶ σώμασι καὶ σκεύει, φανερὰ δὲ ἡ ἔγγειος. Λυσίας ἐν τῷ πρὸς Ἱπποθέρσην.

Ἀφεὶς καὶ ἀπαλλάξας. τὸ μὲν ἀφεὶς, ὅταν ἀπολύσῃ τίς τινα τῶν ἐγκλημάτων ὧν ἐνεκάλει αὐτῷ· τὸ δὲ ἀπαλλάξας, ὅταν πείσῃ τὸν ἐγκαλοῦντα ἀποστῆναι καὶ μηκέτι ἐγκαλεῖν. Δημοσθένης ἐν τῇ ὑπὲρ Φορμίωνος παραγραφῇ. ἔστι δὲ καὶ οὕτως εἰπεῖν, ὅτι ἀφίησι μέν τις αὐτῶν μόνων ὧν ἂν ἐγκαλῇ. ἀπαλλάττει δὲ, ὅταν μηδὲ ἄλλον τινὰ λόγον ὑπολίπηται ἑαυτῷ πρὸς τὸν ἐγκαλούμενον. Δημοσθένης ἐν τῇ ὑπὲρ Φορμίωνος παραγραφῇ· Ἵν' ἀπαλλαγή τις αὐτῷ γένοιτο παρ' ὑμῶν κυρία.

Ἀφεὶς τὴν ὑπέραν, τὸν πόδα διώκει. Ὑπερίδης ἐν τῷ περὶ τοῦ ταρίχους πρώτῳ. παροιμία ἐπὶ τῶν παριέντων τὰ σπουδαιότερα καὶ περὶ τὰ φαῦλα διατριβόντων. ὑπέραι δέ εἰσι ναυτικαὶ σχοῖνοι, αἷς με- 59
τάγεται τὸ κέρας.

Ἀφ' Ἑστίας, ἀπὸ τῆς οἰκίας. καὶ ἀφ' Ἑστίας μυεῖσθαι. Ἰσαῖος ἐν τῷ πρὸς Καλυδῶνα· Ὁ ἀφ' Ἑστίας (35)
μυούμενος Ἀθηναῖος ἦν πάντως, καὶ ὁρῶ δὲ Λάκων ἐμυεῖτο.

Ἀφορμή. ὅταν τις ἀργύριον δῷ ἐνθήκην, ἀφορμὴ καλεῖται ἰδίως παρὰ τοῖς Ἀττικοῖς.

Ἀφοσιῶ, ἀντὶ τοῦ ἀποκαθαίρω, ἀφαγνίζω. Αἰσχίνης κατὰ Κτησιφῶντος. τὸ δὲ μὴ ἐντελῶς τι ποιῆ-

σαι, ἀλλ' ὥσπερ ὁσίας ἕνεκεν, ἀφοσιώσασθαι εἶπεν Ἰσαῖος ἐν τῷ πρὸς Ἕρμωνα.

Ἀφροδίσιον. ἰδίως τὸ τῆς Ἀφροδίτης ἕδος.

Ἀφύας. Ὑπερίδης κατ' Ἀρισταγόρας. ἔστι δὲ καὶ ὀνόματα ἑταιρῶν γυναικῶν ἀδελφῶν δύο.

Ἀχαριστεῖν, ἀντὶ τοῦ μὴ χαρίζεσθαι. οὕτως Ἀντιφῶν.

B.

Βαλβίς, Ἀντιφῶν περὶ ὁμονοίας. ἡ ἀρχή. εἴρηται 60 δὲ ἀπὸ τῶν δρομέων. ἡ γὰρ ὑπὸ τὴν ὕσπληγγα γινομένη γραμμή, διὰ τὸ ἐπὶ ταύτης βεβηκέναι τοὺς δρομέας, βαλβὶς καλεῖται.

Βάραθρον, ὄρυγμα, εἰς ὃ ὁ δῆμος τῆς Ἱπποθοωντίδος τοὺς ἐπὶ θανάτῳ κατακρίτους ἐνέβαλλον. Δημοσθένης δὲ ἐν Φιλιππικοῖς οὐ κυρίως αὐτὸ λέγει, ἀλλ' ἐκ μεταφορᾶς, οἷον ἐν τῷ ὀλέθρῳ.

Βάσανος, Ἀντιφῶν. λίθος οὕτω καλεῖται, ᾗ τὸ χρυσίον παρατριβόμενον δοκιμάζεται. Ὑπερίδης δ' ἐν τῷ κατ' Ἀντίου τὰ ἐν ταῖς βασάνοις εἰρημένα ὑπὸ τῶν βασανιζομένων καὶ ἀναγραφομένων βασάνους ὠνόμασε.

Βασανίσας, ἀντὶ τοῦ δοκιμάσας. Δείναρχος ἐν τῷ κατὰ Προξένου, πολὺ δ' ἐστὶ τοὔνομα ἐπὶ τούτου τοῦ σημαινομένου παρ' Ἀττικοῖς.

Βασιλικὴ διαδρομή, ἔοικεν ἡ γενομένη δια- 61
δρομὴ τοῦ βασιλέως παρόντος, ὅσπερ εἷς ἐστι τῶν (36)
Ἀθήνησιν ἐννέα ἀρχόντων, βασιλικὴ διαδρομὴ καλεῖσθαι. Δείναρχος κατὰ Πυθέου.

Βασίλειος στοά, Δημοσθένης ἐν τῷ κατ' Ἀριστογείτονος πρώτῳ. δύο εἰσὶ στοαὶ παρ' ἀλλήλας· ἥ τε τοῦ Ἐλευθερίου Διὸς καὶ ἡ βασίλειος. ἔστι δὲ καὶ τρίτη τις, ἡ πάλαι μὲν Ἀνάκτιος καλουμένη, Ποικίλη δὲ μετονομασθεῖσα.

Βασκαίνει, ἀντὶ τοῦ αἰτιᾶται καὶ μέμφεται καὶ συκοφαντεῖ. Δημοσθένης ἐν τῷ ὑπὲρ Κτησιφῶντος. καὶ ἐν τοῖς ἑξῆς· Βάσκανον δὲ καὶ πικρὸν καὶ κακόηθες

οὐκ ἔστι πολίτευμα ἐμὸν, ἀντὶ τοῦ φιλαίτιον καὶ συκοφαντικόν.

Βάταλος, βδελυρὸς, αἰσχρός. Αἰσχίνης ἐν τῇ περὶ παραπρεσβείας οὕτως τὸν Δημοσθένην ὠνόμασε, κεκωμῴδηται γὰρ ἐπὶ μαλακίᾳ. Εὔπολις δὲ τὸν πρωκτὸν βάταλον λέγει. μήποτε οὖν ἔνθεν τοὺς κιναίδους βατάλους καλοῦσι.

62 Βαυβοῦς. Βαυβὼ, ὄνομα γυναικός.

Βεβαιώσεως, δίκης ὄνομά ἐστιν, ἣν δικάζονται οἱ ὠνησάμενοί τι τῷ πωλουμένῳ, ἂν ἕτερος μὲν ἀμφισβητῇ τοῦ πραθέντος, ὃς δὲ μὴ βεβαιοῖ. ἐνίοτε καὶ ἀῤῥαβῶνος μόνου δοθέντος, εἶτα ἀμφισβητήσαντος τοῦ πεπρακότος, ἐλάγχανε τὴν τῆς βεβαιώσεως δίκην ὁ τὸν ἀῤῥαβῶνα δοὺς τῷ λαβόντι. Λυσίας ἐν δυσὶ λόγοις.

Βησηΐς, Λυσίας ἐν τῇ πρὸς Φιλοκράτην συμβολαίου ἀπολογίᾳ. δῆμος τῆς Ἀντιοχίδος ἡ Βῆσα.

Βιαίων, ὄνομα δίκης κατὰ τῶν βίᾳ πραττόντων ὁτιοῦν. ὁ δὲ ἁλοὺς ἀποτίνει εἰς τὸ δημόσιον ἴσον τῷ ἑλόντι. Δημοσθένης κατὰ Μειδίου. εἰσὶ δὲ καὶ ἐν τοῖς Λυσιακοῖς φερόμενοι λόγοι Βίαιοι. καὶ δῆλον ὅτι οὐκ ἐπὶ φθορᾷ παρθένων μόνον οὔτε τὸ ὄνομα οὔτε ἡ δίκη ἐλέγετο, ἀλλὰ καὶ ἐπ᾽ ἄλλων.

Βλιμάζειν, τὸ ταῖς χερσὶ διαθλίβειν, καὶ τὸ τὰ κηρία θλίψαι βλίσαι λέγεται.

(37) Βοηδρόμια, Δημοσθένης Φιλιππικοῖς. ἑορτή τις
63 Ἀθήνησιν οὕτω καλουμένη, ἥν φησι Φιλόχορος ἐν δευτέρᾳ νενομίσθαι ἐπειδὴ Ἴων ὁ Ξούθου ἐβοήθησε σπουδῇ πολεμουμένοις Ἀθηναίοις ὑπὸ Εὐμόλπου τοῦ Ποσειδῶνος, Ἐρεχθέως βασιλεύοντος. βοηδρομεῖν γὰρ τὸ βοηθεῖν ὠνομάζετο, τουτέστιν ἐπὶ μάχην δραμεῖν.

Βόθυνος, τόπος τις ἰδίως οὕτω καλούμενος ἐν τῇ ἱερᾷ ὁδῷ. Ἰσαῖος ἐν τῷ πρὸς Ἕρμωνα περὶ ἐγγύης μνημονεύει τοῦ τόπου. καὶ εἶδος ἀστέρος.

Βολεῶνες. ὁ τόπος ὅπου ἡ κόπρος βάλλεται τῶν βοῶν καὶ τῶν ὑποζυγίων καὶ τῶν προβάτων βολεὼν

καλεῖται. Νίκανδρος ἐν τρίτῃ Ἀττικῆς διαλέκτου βολεῶνας ἐπὶ τῶν ἀγρῶν, εἰς οὓς τὰ κόπρια ἐκφέρει.

Βομβυλιός, ζῶον παραπλήσιον μελίττῃ, ὠνομασμένον ἀπὸ τοῦ βόμβου. Ἰσοκράτης ἐν Ἑλένης ἐγκωμίῳ.

Βουλαία. Δείναρχος ἐν τῇ κατὰ Καλλισθένους ἐνδείξει· Μαρτύρομαι τὴν Ἑστίαν τὴν βουλαίαν, οἷον τὴν ἐν τῇ βουλῇ ἱδρυμένην.

Βουλεία, τὸ ἐκ τῆς βουλῆς ὄντα πράττειν ἃ τοῖς 64 βουλευταῖς προσήκει. Δείναρχος καὶ Ἀριστοφάνης ἐν Θεσμοφοριαζούσαις.

Βουλεύσεως, ἐγκλήματος ὄνομα ἐπὶ δυοῖν ταττόμενον πραγμάτων· τὸ μὲν γάρ ἐστιν, ὅταν ἐξ ἐπιβουλῆς τίς τινι κατασκευάσῃ θάνατον, ἐάν τε ἀποθάνῃ ὁ ἐπιβουλευθείς, ἐάν τε μή. τὸ δ' ἕτερον, ὅταν ἐγγεγραμμένος ὡς ὀφείλων τῷ δημοσίῳ αὐτὸς δικάζηταί τινι, ὡς οὐ δικαίως αὐτὸν ἐγγεγραφότι. τοῦ μὲν οὖν προτέρου μάρτυς Ἰσαῖος ἐν τῷ πρὸς Εὐκλείδην, ἐπὶ Παλλαδίῳ λέγων εἶναι τὰς δίκας. Δείναρχος δὲ ἐν τῷ κατὰ Πιστίου, ἐν Ἀρείῳ πάγῳ· Ἀριστοτέλης δ' ἐν τῇ Ἀθηναίων πολιτείᾳ τῷ Ἰσαίῳ συμφωνεῖ. περὶ δὲ τοῦ ἑτέρου ἐγκλήματος Δημοσθένης ἐν τῷ κατ' Ἀριστογείτονος πρώτῳ, Ὑπερίδης δ' ἐν τῷ κατ' Ἀθηνογένους πρώτῳ, (33) ἐπὶ ἐνέδρας καὶ ἐπιβουλῆς τῆς εἰς τὰ χρήματα ἰδίως κέχρηται τῷ ὀνόματι.

Βουτάδης, δῆμος τῆς Οἰνηΐδος φυλῆς Βουτεία, ἀφ' ἧς οἱ δημόται Βουτάδαι.

Βούτης, οὗτος ἔσχε τὴν ἱερωσύνην. καὶ οἱ ἀπὸ τούτου Βουτάδαι καὶ Ἐτεοβουτάδαι οἱ ἀπόγονοι τοῦ 65 Βούτου, τὸ γὰρ ἐτεὸν τὸ ἀληθὲς δηλοῖ. Ὅμηρος, εἰ ἐτεὸν ἔτι σός εἰμι.

Βουφόνια, Ὑπερίδης ἐν τῷ κατὰ Δημάδου. ἑορτή τίς ἐστι παρ' Ἀθηναίοις.

Βούχετα, Δημοσθένης ἐν Φιλιππικῶν ἑβδόμῳ. πόλις ἐστὶ τῆς Ἠπείρου, πληθυντικῶς οὐδετέρως λεγομένη. ἣν Φιλοστέφανος ἐν τοῖς Ἠπειρωτικοῖς ὠνομά-

Ἀρτεμισία, Δημοσθένης περὶ τῆς Ῥοδίων ἐλευ-
(29)θερίας. δύο γεγόνασιν αὗται, Καρικαὶ γένος καὶ βασι-
λίδες ἀμφότεραι· ἡ μὲν πρώτη κατὰ τὰ Περσικά, θυ-
γάτηρ δ' ἦν Λυγδάμιδος, ἧς καὶ Ἡρόδοτος μνημονεύει·
ἡ δὲ νεωτέρα, ἧς ὁ Δημοσθένης, θυγάτηρ μὲν ἦν Ἑκα-
τόμνου, γυνὴ δὲ καὶ ἀδελφὴ Μαυσώλου, ἥν φησι Θεό-
πομπος φθινάδι νόσῳ ληφθεῖσαν διὰ τὴν λύπην τὴν
ἐπὶ τοῦ ἀνδρὸς καὶ ἀδελφοῦ Μαυσώλου ἀποθανεῖν.

Ἀρτεμίσιον, ἰδίως τὸ τῆς Ἀρτέμιδος ἄγαλμα,
49 Ὑπερίδης Δηλιακῷ. λέγεται δὲ καὶ ἀκρωτήριόν τι τῆς
Εὐβοίας, ὡς Δημοσθένης ὑπὲρ Κτησιφῶντος.

Ἀρύμβας, Ἀλκέτου μὲν υἱός, Μολοττῶν δὲ βασιλεύς. Δημοσθένης Φιλιππικοῖς.

Ἀρχαιρεσιάζειν, τὸ ἀξιοῦν ἑαυτὸν αἱρεθῆναι ἄρχοντα. Δείναρχος ἐν τῷ κατὰ Πολυεύκτου.

Ἀρχαίως, Ἰσοκράτης Πανηγυρικῷ· τά τε παλαιὰ
καινῶς διελθεῖν καὶ περὶ τῶν νεωστὶ γενομένων ἀρ-
χαίως εἰπεῖν. ἔνιοι μέν φασι σημαίνειν ἀρχαιοτρόπως,
τουτέστιν ἀρχαιοτέροις ὀνόμασι χρῆσθαι. Θουκυδίδης
ἐν τῇ πρώτῃ τῶν ἱστοριῶν τρόπον τινὰ ἐξηγήσατο.
φησὶ περὶ τῶν ἀρχαίων πραγμάτων τοὺς νεωτέρους διεξ-
έρχεσθαι. Περὶ μὲν γὰρ τῶν καθ' ἡμᾶς γεγενημένων,
φησί, τοὺς ἀκριβέστατα λέγοντας πιστοτάτους ἡγούμε-
θα, περὶ δὲ τῶν παλαιῶν τοὺς οὕτω διεξιόντας ἀπιθανω-
τάτους εἶναι νομίζομεν, ὑπολαμβάνοντες οὔτε τὰς πρά-
ξεις ἁπάσας οὔτε τῶν λόγων τοὺς πλείστους εἰκὸς εἶναι
50 μνημονεύεσθαι διὰ τοσούτων. Δημοσθένης μὲν Φιλιπ-
πικοῖς φησιν, οὕτω δ' ἀρχαίως εἶχον, μᾶλλον δὲ πολι-
τικῶς. ἀντὶ τοῦ ἁπλῶς.

Ἀρχὴ ἄνδρα δείκνυσι, Δημοσθένης προοιμίοις δημηγορικοῖς. Σοφοκλῆς μὲν οὖν ἐν ταῖς ἐλεγείαις Σόλωνός φησιν αὐτὸ εἶναι ἀπόφθεγμα. Θεόφραστος δ' ἐν τῷ παροιμιῶν καὶ Ἀριστοτέλης Βίαντος.

Ἀρχὴν ἰᾶσθαι πολὺ λώϊον ἤγε τελευτήν.
(30)ἄλλη παροιμία. δηλοῖ δέ, ὡς ἀρχόμενα τὰ δεινὰ δεῖ
μᾶλλον πειρᾶσθαι κωλύειν ἢ ἀκμάσαντα καὶ τελειωθέντα.

Ἀρχιδάμιος πόλεμος, Λυσίας ἐν τῷ κατ' Αὐτάνδρου καὶ Πυθέου ξενίας. τὰ πρῶτα δέκα ἔτη τοῦ Πελοποννησιακοῦ πολέμου Ἀρχιδάμιος ἐκλήθη πόλεμος, ὡς ἔοικεν, ἀπὸ τοῦ τὸν Ἀρχίδαμον εἰς τὴν Ἀττικὴν ἐμβαλεῖν, καθὰ Θουκυδίδης καὶ Ἔφορος καὶ Ἀναξιμένης φασίν.

Ἀσήμαντα, τὰ ὑφ' ἡμῶν λεγόμενα ἀσφράγιστα. σημεῖα γὰρ ἔλεγον τὰς σφραγῖδας. Ὑπερίδης ἐν τῷ κατ' Ἀντίου.

Ἀσπασία, Λυσίας ἐν τῷ πρὸς Αἰσχίνην τὸν Σω-
κρατικὸν διαλεγόμενος ἐπιγραφομένῳ Ἀσπασία. μνη- 51
μονεύουσι δ' αὐτῆς πολλάκις καὶ οἱ ἄλλοι Σωκρατικοὶ καὶ Πλάτων ἐν τῷ Μενεξένῳ τὸν Σωκράτην παρ' αὐτῆς φησι μαθεῖν τὰ πολιτικά. ἦν δὲ τὸ μὲν γένος Μιλησία, δεινὴ δὲ περὶ λόγους. Περικλέους δέ φασιν αὐτὴν διδάσκαλόν τε ἅμα καὶ ἐρωμένην εἶναι. δοκεῖ δὲ δυοῖν πολέμων αἰτία γεγονέναι, τοῦ τε Σαμιακοῦ καὶ τοῦ Πελοποννησιακοῦ, ὡς ἔστι μαθεῖν παρά τε Δούριδος τοῦ Σαμίου καὶ Θεοφράστου ἐκ τοῦ τετάρτου τῶν πολιτικῶν καὶ ἐκ τῶν Ἀριστοφάνους Ἀχαρνέων. δοκεῖ ἐξ αὐτῆς ἐσχηκέναι ὁ Περικλῆς τὸν ὁμώνυμον αὐτῷ Περικλέα τὸν νόθον, ὡς ἐμφαίνει καὶ Εὔπολις ἐν τοῖς Δήμοις. Λυσικλεῖ δὲ τῷ δημαγωγῷ συνοικήσασα πορίστὴν ἔσχεν, ὡς ὁ Σωκρατικὸς Αἰσχίνης φησίν.

Ἀσταθμητότατον, περὶ οὗ οὐδεὶς ἂν δύναιτο τεκμήρασθαι, οὐδὲ σταθμήσασθαι, τί ποτε διανοεῖται, ἢ τί πράξει. Δημοσθένης ἐν τῷ περὶ παραπρεσβείας.

Ἄστικτον χωρίον, τὸ μὴ ὑποκείμενον δανειστῇ.
ὅταν γὰρ ὑποκέηται, εἴωθεν ὁ δανείσας αὐτὸ τοῦτο δη- 52
λοῦν διὰ γραμμάτων ἐπόντων τῷ χωρίῳ. τὸ δ' αὐτὸ καὶ ἐπ' οἰκίας γίνεται. Λυσίας ἐν τῷ πρὸς Αἰσχίνην τὸν Σωκρατικόν.

Ἀστράβη, ἡ ἡμίονος, Δημοσθένης ἐν τῷ κατὰ
Μειδίου. μή ποτε δὲ καὶ πᾶν ὑποζύγιον, ἐφ' οὗ ἄνθρω- (31)
ποι ὀχοῦνται, οὕτως ἐκαλεῖτο.

Ἀστυνόμος, Δημοσθένης κατὰ Τιμοκράτους. δέκα φησὶν εἶναι τοὺς ἀστυνόμους Ἀριστοτέλης ἐν τῇ Ἀθηναίων πολιτείᾳ, πέντε μὲν Πειραιεῖ, πέντε δ' ἐν ἄστει. τούτοις δέ φησι μέλειν περί τε τῶν αὐλητρίδων καὶ ψαλτριῶν καὶ τῶν κοπρολόγων καὶ τῶν τοιούτων.

Ἀσυνθετώτατον, Δημοσθένης ἐν τῷ περὶ παραπρεσβείας ἐπ' ὄχλου ἔταξε τοὔνομα, ἤτοι ἀντὶ τοῦ ἀπιστότατον καὶ ἀβεβαιότατον, καὶ πίστεις οὐ τιθέμενον διὰ τὸ ἀβέβαιον, ἢ ἀνομόλογον καὶ ἀσύμφωνον· ὁμολογίαι γὰρ αἱ συνθῆκαι. ἢ ἀντὶ τοῦ ἀσυνετώτατον, ὅ πέρ ἐστιν ἀνοητότατον. ἢ ἀντὶ τοῦ ὃν μάλιστα οὐκ ἂν δύ-
53 ναιτό τις συνιέναι τί ποτε φρονεῖ. Ὅμηρος,

σὺ δὲ σύνθεο καί μευ ἄκουσον.

Ἀταρνεὺς, πολίχνιόν τι καταντικρὺ Λέσβου κείμενον. Ἰσοκράτης Πανηγυρικῷ, Ἡρόδοτος ἐν ἕκτῃ.

Ἀτεχνῶς, περισπωμένως μὲν ἀντὶ τοῦ σαφῶς, ἢ βεβαίως, ἢ ἀσφαλῶς, ἢ φανερῶς, παροξυτόνως δὲ, ἀντὶ τοῦ ἀμελῶς καὶ ἄνευ τέχνης.

Ἀτίμητος ἀγὼν καὶ τιμητός. ὁ μὲν τιμητὸς, ἐφ' ᾧ τίμημα ὡρισμένως ἐκ τῶν νόμων οὐκ ἔστιν, ἀλλὰ τοὺς δικαστὰς ἔδει τιμᾶσθαι ὅ τι χρὴ παθεῖν ἢ ἀποτῖσαι· ὁ δὲ ἀτίμητος τοὐναντίον, ᾧ πρόεστιν ἐκ τῶν νόμων ὡρισμένως τίμημα, ὡς μηδὲν δεῖν τοὺς δικαστὰς διατιμῆσαι. Αἰσχίνης κατὰ Κτησιφῶντος καὶ Δημοσθένης κατὰ Μειδίου.

Ἄτιμος. τοῦτο ἰδίως ἔταξε Δημοσθένης Φιλιππικοῖς. ἤγουν ὃν ἄν τις ἀποκτείνας οὐχ ὑπόκειται ἐπιτιμίῳ. φησὶ γὰρ περὶ Ἀρθμίου λέγων ὅτι ἐψηφίσαντο Ἀθηναῖοι ἐχθρὸν εἶναι καὶ πολέμιον τοῦ δήμου τῶν Ἀθηναίων καὶ τῶν συμμάχων, αὐτὸν καὶ γένος,
54 καὶ ἄτιμον εἶναι. εἶτ' ἐπιφέρει ὥσπερ ἐξηγούμενος·
(32) τοῦτο δ' ἐστὶν οὐχ ἣν ἂν οὕτω τις ἂν φήσειεν ἀτιμίαν, τί γὰρ τῷ Ζελείτῃ [τοῦτ' ἔμελεν] τῶν Ἀθηναίων κοινῶν εἰ μὴ μεθέξειν ἔμελλεν; ἀλλ' ἐν τοῖς φονικοῖς γέγραπται νόμοις· ὑπὲρ ὧν ἂν μὴ διδῷ [δίκας,]

φόνου δικάσασθαι, καὶ ἄτιμος φησὶ τεθνάτω. τοῦτο δὴ λέγει, καθαρὸν τὸν τούτων τινὰ ἀποκτείναντα εἶναι.

Ἄττα, ἀντὶ μὲν τοῦ ὅσα, ἢ ἅτινα. Ἀντιφῶν ἐν τῷ περὶ τοῦ Λινδίων φόρου. ἀντὶ δὲ τοῦ τινὰ, ἢ ποῖά τινα, Δημοσθένης Φιλιππικοῖς. ἐνιαχοῦ δὲ παρέλκει τὸ ἄττα· ἐν δὲ τῷ περὶ παραπρεσβείας Δημοσθένης ἐπὶ τοῦ ὅσα ἔλαβε τὴν λέξιν. Φερεκράτης μὲν ἐν Χείρωνι ἐπ' ἀριθμοῦ ἔταξεν· τοῖς δέκα ταλάντοις ἄλλα προθῇς ἄττα πεντήκοντα. Ἀριστοφάνης δὲ ἐπὶ χρόνου·

πύθου χελιδὼν πηνίκ' ἄττα φαίνεται.

Ἄττις, Δημοσθένης ὑπὲρ Κτησιφῶντος. ὁ Ἄττις παρὰ Φρυξὶ μάλιστα τιμᾶται ὡς πρόπολος τῆς μητρὸς τῶν θεῶν. τὰ δὲ περὶ αὐτὸν δεδήλωκε Νεάνθης. μυστικὸς δὲ ὁ λόγος.

Ἀττικοῖς γράμμασι, Δημοσθένης κατὰ Νεαίρας, ἀντὶ τοῦ παλαιοῖς· τὴν γὰρ τῶν εἴκοσι τεσσάρων στοι- 55
χείων γραμματικὴν ὀψέ ποτε παρὰ τοῖς Ἴωσιν εὑρεθῆναι. Θεόπομπος δ' ἐν τῇ εἰκοστῇ πέμπτῃ τῶν Φιλιππικῶν ἐσκευωρῆσθαι λέγει τὰς πρὸς τὸν βάρβαρον συνθήκας, ἃς οὐκ Ἀττικοῖς γράμμασιν ἐστηλιτεῦσθαι, ἀλλὰ τοῖς τῶν Ἰώνων.

Αὐθέντης, ὁ αὐτόχειρ, ἢ ὁ αὐτὸν ἀναιρῶν. διὰ παρ' Ἰσοκράτει αὐθέντης. Λυσίας δὲ ἐν τῷ ὑπὲρ τοῦ Ἐρατοσθένους πρὸς Ἰσόδημον ἰδίως ἔταξεν ἐπὶ τῶν Τριάκοντα, καίτοι δι' ἑτέρων εἰργάζοντο τοὺς φόνους. ὁ γὰρ αὐθέντης αἰεὶ τὸν αὐτόχειρα δηλοῖ.

Αὔλειος, ἡ ἀπὸ τῆς ὁδοῦ πρώτη θύρα τῆς οἰκίας, ὡς δηλοῖ Μένανδρος.

Αὔλια, Λυσίας ἐν τῇ κατὰ Διοδότου, καὶ Αἰσχί- (33)
νης κατὰ Κτησιφῶντος. ἤτοι ἀντὶ τοῦ ἐπαύλεις, ἢ ἀντὶ τοῦ τὰς μικρὰς αὐλάς.

Αὐλιζόμενοι, ἀντὶ τοῦ κοιμώμενοι. Ἀντιφῶν περὶ ὁμονοίας.

Αὐτοδικεῖν, ἀντὶ τοῦ ἑαυτοῖς τὰ δίκαια ὁρίζειν. Δείναρχος ἐν τῷ κατὰ Κλεομέδοντος.

Αὐτοκλείδης, Αἰσχίνης κατὰ Τιμάρχου. Κηδω-
56 νίδης καὶ Αὐτοκλείδης καὶ Θέρσανδρος ὡς παιδερασταὶ σφοδροὶ διεσύροντο, ὡς καὶ Ἀριστογείτων κατὰ Τιμάρχου.

Αὖ, Δημοσθένης ἀντὶ τοῦ πάλιν ἐν τῷ κατὰ Ἀφόβου πρώτῳ.

Αὐτολήκυθοι, Δημοσθένης κατὰ Κόνωνος, ἤτοι ἀντὶ τοῦ εὐζώνους τινὰς καὶ ἑτοίμους πᾶν ὁτιοῦν ποιεῖν καὶ ὑπομένειν, ἢ ἀντὶ τοῦ πένητας καὶ μηδὲν ἄλλο κεκτημένους ἢ ληκύθους· ἢ αὐτουργούς· ἢ ἀντὶ τοῦ εἰς πληγὰς ἑτοίμους, καὶ οἷον τύπτοντας καὶ μαστιγοῦντας καὶ ὑβρίζοντας· ἢ λέγοι αὐτοὺς ἐκ προχείρου διδόντας ἀργύριον καὶ ἑτοίμους πρὸς τὰς μίξεις. καὶ γὰρ εἶχον ἐν ταῖς ληκύθοις ἀργύριον. τὸ ὄνομα καὶ παρὰ Μενάνδρῳ ἔν τε Ἡνιόχῳ καὶ Δακτυλίῳ. ὅτι δὲ εἶχον ἐν ταῖς ληκύθοις ἀργύριον ἐνίοτε, Δίφιλος τῷ Ἀποβάτῃ. ὅτι δὲ λύσαντες τὴν λήκυθον ἐχρῶντο τῷ ἱμάντι πρὸς τὸ μαστιγοῦν, Μένανδρος Τροφωνίῳ.

Αὐτόλυκος. Λυκούργου λόγος ἐστὶ κατ᾽ Αὐτολύκου τοῦ Ἀρεοπαγίτου. οὗτος δὲ τοὺς οἰκείους ὑπεκτι-
57 θέμενος ἐν τοῖς Χαιρωνικοῖς ἑάλω καὶ κατεψηφίσαντο αὐτοῦ οἱ δικασταί, ὡς ὁ αὐτὸς δηλοῖ ῥήτωρ ἐν τῷ κατὰ Λεωκράτους.

Αὐτομαχεῖν, τὸ δι᾽ ἑαυτοῦ δικάζεσθαι, ἀλλὰ μὴ δι᾽ ἑτέρου. οἷον ἐάν τις εἰς πρατῆρα ἀνάγῃ, πρὸς ἐκεῖνον ἀποφαίνει τὴν δίκην οὖσαν· καὶ ἐάν τις παρέχῃ τὸν διαμαρτυροῦντα, μὴ εἰσαγώγιμον εἶναι τὴν δίκην, αὐτὸς
(34) μὲν γὰρ οὐκέτι ἀγωνίζεται, πρὸς δὲ τὸν διαμαρτυρήσαντα ὁ ἀγών ἐστι. Λυσίας ἐν τῷ κατ᾽ Εὐθυκλέους χωρίου ἐξούλης.

Αὐτόχθονες, οἱ Ἀθηναῖοι. Δημοσθένης ἐν τῷ περὶ τῆς παραπρεσβείας· Μόνοι γὰρ τῶν πάντων αὐτόχθονες ὑμεῖς. Ἀπολλόδωρος ἐν τοῖς περὶ Θεῶν κληθῆναί φησι αὐτοὺς αὐτόχθονας, ἐπεὶ τὴν χθόνα, του-

τέσσι τὴν γῆν, ἀργὴν οὖσαν πρῶτοι εἰργάσαντο. οἱ δὲ, διὰ τὸ μὴ εἶναι ἐπήλυδας. ὁ δὲ Πίνδαρος καὶ ὁ τὴν Δαναΐδα πεποιηκώς φασιν, Ἐριχθόνιον ἐξ Ἡφαίστου καὶ Γῆς φανῆναι. αὐτόχθονες δὲ καὶ Ἀρκάδες ἦσαν, ὡς Ἑλλάνικός φησι, καὶ Αἰγινῆται, καὶ Θηβαῖοι.

Ἀφαίρεσις, ἰδίως λέγεται ἡ εἰς ἐλευθερίαν. Ὑπε- 58
ρίδης ἐν τῷ κατ' Ἀρισταγόρας.

Ἀφαρεύς. οὗτος Ἱππίου μὲν ἦν υἱός, ἐνομίζετο δὲ Ἰσοκράτους.

Ἀφανὴς οὐσία καὶ φανερά. ἀφανὴς μὲν ἡ ἐν χρήμασι καὶ σώμασι καὶ σκεύει, φανερὰ δὲ ἡ ἔγγειος. Λυσίας ἐν τῷ πρὸς Ἱπποθέρσην.

Ἀφεὶς καὶ ἀπαλλάξας. τὸ μὲν ἀφεὶς, ὅταν ἀπολύσῃ τίς τινα τῶν ἐγκλημάτων ὧν ἐνεκάλει αὐτῷ· τὸ δὲ ἀπαλλάξας, ὅταν πείσῃ τὸν ἐγκαλοῦντα ἀποστῆναι καὶ μηκέτι ἐγκαλεῖν. Δημοσθένης ἐν τῇ ὑπὲρ Φορμίωνος παραγραφῇ. ἔστι δὲ καὶ οὕτως εἰπεῖν, ὅτι ἀφίησι μέν τις αὐτῶν μόνων ὧν ἂν ἐγκαλῇ. ἀπαλλάττει δὲ, ὅταν μηδὲ ἄλλον τινὰ λόγον ὑπολίπηται ἑαυτῷ πρὸς τὸν ἐγκαλούμενον. Δημοσθένης ἐν τῇ ὑπὲρ Φορμίωνος παραγραφῇ· Ἵν' ἀπαλλαγή τις αὐτῷ γένοιτο παρ' ὑμῶν κυρία.

Ἀφεὶς τὴν ὑπέραν, τὸν πόδα διώκει. Ὑπερίδης ἐν τῷ περὶ τοῦ ταρίχους πρώτῳ. παροιμία ἐπὶ τῶν παριέντων τὰ σπουδαιότερα καὶ περὶ τὰ φαῦλα διατριβόντων. ὑπέραι δέ εἰσι ναυτικαὶ σχοῖνοι, αἷς με- 59
τάγεται τὸ κέρας.

Ἀφ' Ἑστίας, ἀπὸ τῆς οἰκίας. καὶ ἀφ' Ἑστίας μυεῖσθαι. Ἰσαῖος ἐν τῷ πρὸς Καλυδῶνα· Ὁ ἀφ' Ἑστίας (35)
μυούμενος Ἀθηναῖος ἦν πάντως, καὶ ὁρῶ δὲ Λάκων ἐμυεῖτο.

Ἀφορμή. ὅταν τις ἀργύριον δῷ ἐνθήκην, ἀφορμὴ καλεῖται ἰδίως παρὰ τοῖς Ἀττικοῖς.

Ἀφοσιῶ, ἀντὶ τοῦ ἀποκαθαίρω, ἀφαγνίζω. Αἰσχίνης κατὰ Κτησιφῶντος. τὸ δὲ μὴ ἐντελῶς τι ποιῆ-

σαι, ἀλλ' ὥσπερ ὁσίας ἕνεκεν, ἀφοσιώσασθαι εἶπεν Ἰσαῖος ἐν τῷ πρὸς Ἕρμωνα.

Ἀφροδίσιον. ἰδίως τὸ τῆς Ἀφροδίτης ἕδος.

Ἀφύας. Ὑπερίδης κατ' Ἀρισταγόρας. ἔστι δὲ καὶ ὀνόματα ἑταιρῶν γυναικῶν ἀδελφῶν δύο.

Ἀχαριστεῖν, ἀντὶ τοῦ μὴ χαρίζεσθαι. οὕτως Ἀντιφῶν.

Β.

Βαλβὶς, Ἀντιφῶν περὶ ὁμονοίας. ἡ ἀρχή. εἴρηται 60
δὲ ἀπὸ τῶν δρομέων. ἡ γὰρ ὑπὸ τὴν ὕσπληγγα γινομένη γραμμὴ, διὰ τὸ ἐπὶ ταύτης βεβηκέναι τοὺς δρομέας, βαλβὶς καλεῖται.

Βάραθρον, ὄρυγμα, εἰς ὃ ὁ δῆμος τῆς Ἱπποθοωντίδος τοὺς ἐπὶ θανάτῳ καταχρίτους ἐνέβαλλον. Δημοσθένης δὲ ἐν Φιλιππικοῖς οὐ κυρίως αὐτὸ λέγει, ἀλλ' ἐκ μεταφορᾶς, οἷον ἐν τῷ ὀλέθρῳ.

Βάσανος, Ἀντιφῶν. λίθος οὕτω καλεῖται, ᾗ τὸ χρυσίον παρατριβόμενον δοκιμάζεται. Ὑπερίδης δ' ἐν τῷ κατ' Ἀντίου τὰ ἐν ταῖς βασάνοις εἰρημένα ὑπὸ τῶν βασανιζομένων καὶ ἀναγραφομένων βασάνους ὠνόμασε.

Βασανίσας, ἀντὶ τοῦ δοκιμάσας. Δείναρχος ἐν τῷ κατὰ Προξένου, πολὺ δ' ἐστὶ τοὔνομα ἐπὶ τούτου τοῦ σημαινομένου παρ' Ἀττικοῖς.

Βασιλικὴ διαδρομὴ, ἔοικεν ἡ γενομένη δια- 61
δρομὴ τοῦ βασιλέως παρόντος, ὅσπερ εἷς ἐστι τῶν (36)
Ἀθήνησιν ἐννέα ἀρχόντων, βασιλικὴ διαδρομὴ καλεῖσθαι. Δείναρχος κατὰ Πυθέου.

Βασίλειος στοὰ, Δημοσθένης ἐν τῷ κατ' Ἀριστογείτονος πρώτῳ. δύο εἰσὶ στοαὶ παρ' ἀλλήλας· ἥ τε τοῦ Ἐλευθερίου Διὸς καὶ ἡ βασίλειος. ἔστι δὲ καὶ τρίτη τις, η πάλαι μὲν Ἀνάκτιος καλουμένη, Ποικίλη δὲ μετονομασθεῖσα.

Βασκαίνει, ἀντὶ τοῦ αἰτιᾶται καὶ μέμφεται καὶ συκοφαντεῖ. Δημοσθένης ἐν τῷ ὑπὲρ Κτησιφῶντος. καὶ ἐν τοῖς ἑξῆς· Βάσκανον δὲ καὶ πικρὸν καὶ κακόηθες

οὐκ ἔστι πολίτευμα ἐμόν, ἀντὶ τοῦ φιλαίτιον καὶ συκοφαντικόν.

Βάταλος, βδελυρὸς, αἰσχρός. Αἰσχίνης ἐν τῇ περὶ παραπρεσβείας οὕτως τὸν Δημοσθένην ὠνόμασε, κεκωμῴδηται γὰρ ἐπὶ μαλακίᾳ. Εὔπολις δὲ τὸν πρωκτὸν βάταλον λέγει. μήποτε οὖν ἔνθεν τοὺς κιναίδους βατάλους καλοῦσι.

62 Βαυβοῦς. Βαυβώ, ὄνομα γυναικός.

Βεβαιώσεως, δίκης ὄνομά ἐστιν, ἣν δικάζονται οἱ ὠνησάμενοί τι τῷ πωλουμένῳ, ἂν ἕτερος μὲν ἀμφισβητῇ τοῦ πραθέντος, ὃς δὲ μὴ βεβαιοῖ. ἐνίοτε καὶ ἀῤῥαβῶνος μόνου δοθέντος, εἶτα ἀμφισβητήσαντος τοῦ πεπρακότος, ἐλάγχανε τὴν τῆς βεβαιώσεως δίκην ὁ τὸν ἀῤῥαβῶνα δοὺς τῷ λαβόντι. Λυσίας ἐν δυσὶ λόγοις.

Βησηΐς, Λυσίας ἐν τῇ πρὸς Φιλοκράτην συμβολαίου ἀπολογίᾳ. δῆμος τῆς Ἀντιοχίδος ἡ Βῆσα.

Βιαίων, ὄνομα δίκης κατὰ τῶν βίᾳ πραττόντων ὁτιοῦν. ὁ δὲ ἁλοὺς ἀποτίνει εἰς τὸ δημόσιον ἴσον τῷ ἑλόντι. Δημοσθένης κατὰ Μειδίου. εἰσὶ δὲ καὶ ἐν τοῖς Λυσιακοῖς φερόμενοι λόγοι Βίαιοι. καὶ δῆλον ὅτι οὐκ ἐπὶ φθορᾷ παρθένων μόνον οὔτε τὸ ὄνομα οὔτε ἡ δίκη ἐλέγετο, ἀλλὰ καὶ ἐπ' ἄλλων.

Βλιμάζειν, τὸ ταῖς χερσὶ διαθλίβειν, καὶ τὸ τὰ κηρία θλίψαι βλίσαι λέγεται.

(37) Βοηδρόμια, Δημοσθένης Φιλιππικοῖς. ἑορτή τις
63 Ἀθήνησιν οὕτω καλουμένη, ἥν φησι Φιλόχορος ἐν δευτέρᾳ νενομίσθαι ἐπειδὴ Ἴων ὁ Ξούθου ἐβοήθησε σπουδῇ πολεμουμένοις Ἀθηναίοις ὑπὸ Εὐμόλπου τοῦ Ποσειδῶνος, Ἐρεχθέως βασιλεύοντος. βοηδρομεῖν γὰρ τὸ βοηθεῖν ὠνομάζετο, τουτέστιν ἐπὶ μάχην δραμεῖν.

Βόθυνος, τόπος τις ἰδίως οὕτω καλούμενος ἐν τῇ ἱερᾷ ὁδῷ. Ἰσαῖος ἐν τῷ πρὸς Ἕρμωνα περὶ ἐγγύης μνημονεύει τοῦ τόπου. καὶ εἶδος ἀστέρος.

Βολεῶνες. ὁ τόπος ὅπου ἡ κόπρος βάλλεται τῶν βοῶν καὶ τῶν ὑποζυγίων καὶ τῶν προβάτων βολεὼν

καλεῖται. Νίκανδρος ἐν τρίτῃ Ἀττικῆς διαλέκτου βολεῶνας ἐπὶ τῶν ἀγρῶν, εἰς οὓς τὰ κόπρια ἐκφέρει.

Βομβυλιός, ζῶον παραπλήσιον μελίττῃ, ὠνομασμένον ἀπὸ τοῦ βόμβου. Ἰσοκράτης ἐν Ἑλένης ἐγκωμίῳ.

Βουλαία. Δείναρχος ἐν τῇ κατὰ Καλλισθένους ἐνδείξει· Μαρτύρομαι τὴν Ἑστίαν τὴν βουλαίαν, οἷον τὴν ἐν τῇ βουλῇ ἱδρυμένην.

Βουλεία, τὸ ἐκ τῆς βουλῆς ὄντα πράττειν ἃ τοῖς 64
βουλευταῖς προσήκει. Δείναρχος καὶ Ἀριστοφάνης ἐν Θεσμοφοριαζούσαις.

Βουλεύσεως, ἐγκλήματος ὄνομα ἐπὶ δυοῖν ταττόμενον πραγμάτων· τὸ μὲν γάρ ἐστιν, ὅταν ἐξ ἐπιβουλῆς τίς τινι κατασκευάσῃ θάνατον, ἐάν τε ἀποθάνῃ ὁ ἐπιβουλευθείς, ἐάν τε μή. τὸ δ' ἕτερον, ὅταν ἐγγεγραμμένος ὡς ὀφείλων τῷ δημοσίῳ αὐτὸς δικάζηταί τινι, ὡς οὐ δικαίως αὐτὸν ἐγγεγραφότι. τοῦ μὲν οὖν προτέρου μάρτυς Ἰσαῖος ἐν τῷ πρὸς Εὐκλείδην, ἐπὶ Παλλαδίῳ λέγων εἶναι τὰς δίκας. Δείναρχος δὲ ἐν τῷ κατὰ Πιστίου, ἐν Ἀρείῳ πάγῳ· Ἀριστοτέλης δ' ἐν τῇ Ἀθηναίων πολιτείᾳ τῷ Ἰσαίῳ συμφωνεῖ. περὶ δὲ τοῦ ἑτέρου ἐγκλήματος Δημοσθένης ἐν τῷ κατ' Ἀριστογείτονος
πρώτῳ, Ὑπερίδης δ' ἐν τῷ κατ' Ἀθηνογένους πρώτῳ, (38)
ἐπὶ ἐνέδρας καὶ ἐπιβουλῆς τῆς εἰς τὰ χρήματα ἰδίως κέχρηται τῷ ὀνόματι.

Βουτάδης, δῆμος τῆς Οἰνηΐδος φυλῆς Βουτεία, ἀφ' ἧς οἱ δημόται Βουτάδαι.

Βούτης, οὗτος ἔσχε τὴν ἱερωσύνην. καὶ οἱ ἀπὸ
τούτου Βουτάδαι καὶ Ἐτεοβουτάδαι οἱ ἀπόγονοι τοῦ 65
Βούτου, τὸ γὰρ ἐτεὸν τὸ ἀληθὲς δηλοῖ. Ὅμηρος, εἰ ἐτεὸν ἔτι σός εἰμι.

Βουφόνια, Ὑπερίδης ἐν τῷ κατὰ Δημάδου. ἑορτή τίς ἐστι παρ' Ἀθηναίοις.

Βούχετα, Δημοσθένης ἐν Φιλιππικῶν ἑβδόμῳ. πόλις ἐστὶ τῆς Ἠπείρου, πληθυντικῶς οὐδετέρως λεγομένη. ἣν Φιλοστέφανος ἐν τοῖς Ἠπειρωτικοῖς ὠνομά-

σθαι φησὶ διὰ τὸ τὴν Θέμιν ἐπὶ βοὸς ὀχουμένην ἐλθεῖν ἐκεῖσε κατὰ τὸν Δευκαλίωνος κατακλυσμόν.

Βοώνης, Δημοσθένης ἐν τῷ κατὰ Μειδίου, ὅτι λαμπρὸς ἦν ὁ βοώνης, καὶ αἱ μέγισται ἀρχαὶ ἐπὶ τούτῳ ἐχειροτονοῦντο.

Βουτάδαι, ὄνομα γένους Ἀττικοῦ. Δημοσθένης ἐν τῷ κατὰ Νεαίρας.

Βωμολοχεύεσθαι. κυρίως ἐλέγοντο βωμολόχοι οἱ ἐπὶ τῶν θυσιῶν ὑπὸ τοὺς βωμοὺς καθίζοντες, καὶ μετὰ κολακείας προσαιτοῦντες. ἔτι δὲ καὶ οἱ παραλαμβανόμενοι ταῖς θυσίαις αὐληταί τε καὶ μάντεις. Φερεκράτης Τυραννίδι·

κἄπειτα, ἵνα μὴ πρὸς τοῖς βωμοῖς πανταχοῦ
ἀεὶ λοχῶντες βωμολόχοι καλώμεθα,
66 ἐποίησεν ὁ Ζεὺς καπνοδόκην μεγάλην πάνυ.

ἐκ μεταφορᾶς δὲ τούτων ἐλέγοντο βωμολόχοι εὔκολοί
(39) τινες ἄνθρωποι καὶ ταπεινοὶ καὶ πᾶν ὁτιοῦν ὑπομένοντες ἐπὶ κέρδει διὰ τοῦ παίζειν τε καὶ σκώπτειν. Ἀριστοφάνης Γηρυτάδῃ·

χαριεντίζῃ καὶ καταπαίζεις ἡμῶν καὶ βωμολοχεύῃ.

Γ.

Γαληψός. Ἀντιφῶν κατὰ Λαισπουδίου. πόλις Θρᾴκης. ὠνομάσθη δὲ ἀπὸ Γαλήψου τοῦ ἐκ Θάσου καὶ Τηλέφης, ὡς Μαρσύας ὁ νεώτερος.

Γαμηλία, Δημοσθένης ἐν τῇ πρὸς Εὐβουλίδην ἐφέσει καὶ Ἰσαῖος, καὶ Δίδυμος ὁ γραμματικὸς ἐν μὲν τοῖς Ἰσαίου ὑπομνήμασί φησιν εἶναι τὴν γαμηλίαν τοῖς φράτορσιν ἐπὶ γάμοις διδομένην, παρατιθέμενος λέξιν Φανοδήμου, ἐν ᾗ οὐδὲν τοιοῦτον γέγραπται. ἐν δὲ τοῖς εἰς Δημοσθένην ὁ αὐτὸς πάλιν γαμηλίαν φησὶν εἶναι τὴν εἰς τοὺς φράτορας εἰσαγωγὴν τῶν γυναικῶν, οὐδεμίαν ἀπόδειξιν τῆς ἐξηγήσεως παραθέμενος. 67

Γάνος θηλυκῶς, καὶ Γανιάδα, Αἰσχίνης κατὰ Κτησιφῶντος. χωρία ἐστὶ Θρᾳκικά, ὡς Ἀρτεμίδωρος.

Γεισσίπους καὶ γεισσιπόδισμα, καὶ γεισσιποδίζειν. τὸ ἐξέχον τῆς δοκοῦ, ἐφ' οὗ τὸ γεῖσσόν ἐστι, γεισσίπους καλεῖται καὶ γεισσιπόδισμα. καὶ γεισσιποδίζειν τὸ τοῦτο ποιεῖν, Ἰσαῖος ἐν τῷ πρὸς Ὀργεῶνας.

Γεννῆται, οἱ τοῦ αὐτοῦ γένους κοινωνοῦντες. διῃρημένων γὰρ ἁπάντων τῶν πολιτῶν κατὰ μέρη, τὰ μὲν πρῶτα καὶ μέγιστα μέρη ἐκαλοῦντο φυλαί. ἑκάστη δὲ φυλὴ τριχῇ διῄρητο, καὶ ἐκαλεῖτο ἕκαστον μέρος τούτων τριττὺς καὶ φρατρία. πάλιν δὲ τῶν φρατριῶν ἑκάστη διῄρητο εἰς γένη τριάκοντα, ἐξ ὧν αἱ ἱερωσύναι ἑκάστοις προσήκουσαι ἐκληροῦντο. ἔστι δὲ παρὰ πολλοῖς τῶν ῥητόρων τοὔνομα, ὡς καὶ Δημοσθένης ἐν τῇ πρὸς Εὐβουλίδην ἐφέσει. Ἰσαῖος ἐν τῷ περὶ (40) τοῦ Ἀπολλοδώρου κλήρου τοὺς συγγενεῖς γεννήτας ὠνό-

μασεν· οὐχ οἱ συγγενεῖς μέντοι ἁπλῶς, καὶ οἱ ἐξ αἵμα-
68 τος γεννῆταί τε καὶ οἱ ἐκ τοῦ αὐτοῦ γένους ἐκαλοῦντο, ἀλλ' οἱ ἐξαρχῆς εἰς τὰ καλούμενα γένη καταvεμηθέντες. Φιλόχορος δ' ἐν τῇ τετάρτῃ φησὶ, πρότερον ὁμογάλακτας ὀνομάζεσθαι, οὓς νῦν Γεννήτας καλοῦσιν.

Γεραιραὶ, αἱ τῷ Διονύσῳ ἱερωμέναι γυναῖκες. Δημοσθένης ἐν τῷ κατὰ Νεαίρας.

Γερανία, Λυσίας ἐν ἐπιταφίῳ. ἔστι δὲ ὄρος Μεγαρίδος, ὡς Διευχίδας.

Γέῤῥα, Δημοσθένης ὑπὲρ Κτησιφῶντος· Τούς τε ἐκ τῶν σκηνῶν τῶν κατὰ τὴν ἀγορὰν ἐξεῖργον καὶ τὰ γέῤῥα ἐνεπίμπρασαν. Περσικὰ μέν τινα ὅπλα τὰ γέῤῥα ἐστὶ, καθὰ καὶ Ἡρόδοτός φησιν. ἤδη δὲ καταχρηστικῶς καὶ ἅπαν σκέπασμα, εἴτε δερμάτινον εἴη εἴτε ἄλλης τινὸς ὕλης, γέῤῥον ἐλέγετο. νῦν γοῦν τὰ τῶν σκηνῶν σκεπάσματα καὶ παρακαλύμματα ἐμπίπρασθαί φησιν ὁ Δημοσθένης ὑπὲρ τοῦ μὴ συνεστάναι περὶ τὰ ὤνια ἐπὶ τῆς ἀγορᾶς, μηδὲ πρὸς ἄλλοις τισὶ τὰς διατριβὰς ἔχειν. ἐν δὲ τῷ κατὰ Νεαίρας, εἰ γνήσιος ὁ λόγος, φη-
69 σὶν οὕτω· τοὺς δὲ πρυτάνεις κελεύει τιθέναι τοὺς καδίσκους ὁ νόμος, καὶ τὴν ψῆφον διδόναι προσιόντι τῷ δήμῳ, πρὶν τοὺς ξένους εἰσιέναι καὶ τὰ γέῤῥα ἀναιρεῖν. ἤτοι οὖν ταυτὸν τῷ ὑπὲρ Κτησιφῶντος, ἢ τοιοῦτό τι ὑποληπτέον, ὡς παρὰ τοῖς ἐκκλησιάζουσι πολίταις ἡ ψῆφος ὑπὸ τῶν πρυτάνεων ἐδίδοτο, πρὶν εἰσιέναι τοὺς ξένους, καὶ πρὶν ἀναιρεθῆναι τὰ περιφράγματα, τουτέστι, πρὶν ἀναπετασθῆναι τῇ ἐκκλησίᾳ παντὶ τῷ εἰπεῖν βουλομένῳ.

Γεωφάνιον, χωρίον ἐν ᾧ γῆς μέταλλον. περὶ δὲ τοῦ ἐν Σάμῳ γεωφανίου ὃν τρόπον ἐξευρέθη, Ἔφορος
(41) περὶ χωρίων.

Γήπεδον. Δείναρχος ἐν τῷ κατὰ Στεφάνου. γήπεδον ἐστὶ τὸ χωρίον, ὥσπερ καὶ οἰκόπεδον τὸ γῇ καὶ οἰκήμασιν ἀπαρτιζόμενον. Πλάτων γοῦν ἐν πέμπτῳ Νόμων φησίν· ὧν ἔλαχεν οἰκοπέδων ἢ γηπέδων.

Γλαῦκος, ὄνομα κύριον. τὸ γένος Καρύστιος.

Γλυκέρα, ἑταίρα τίς.

Γνῶσις, ἀντὶ τοῦ κρίσις. Δημοσθένης ἐν τῷ κατ' Ἀριστογείτονος.

Γναφεύς. τοῦτο οἱ παλαιοὶ Ἀττικοὶ διὰ τοῦ κ ἔλεγον· κοινὸν δὲ τὸ διὰ τοῦ γ. κνάφος δέ ἐστιν ἀκαν- 70 θῶδές τι, ᾧ ξύουσι τὰ ἱμάτια. τοῦτο οἱ νεώτεροι διὰ τοῦ γ λέγουσι παρὰ τὴν γνάψιν. κναφεὺς μὲν οὖν παρὰ τὸ κνῶ, ὃ σημαίνει τὸ ξύω. καὶ Ὅμηρος,

ἐπὶ δ' αἴγειον κνῆ τυρὸν
κνήστι χαλκείῃ.

γναφεὺς δὲ, παρὰ τὴν τοῦ φάρους γνάψιν, ἥτις ἐστὶ παρὰ τὸ γάνος τὸ λαμπρόν.

Γοργύρα, τὸ κατὰ γῆς ὄρυγμα. Δείναρχος, Αἰσχίνης. ἔστι καὶ παρ' Ἡροδότῳ ἐν τρίτῃ.

Γραμματεὺς, Δημοσθένης ὑπὲρ Κτησιφῶντος. ὁ γραμματεὺς πῶς τε καθίστατο καὶ τί ἔπραττεν, ὡς τῶν γραμμάτων τέ ἐστι κύριος καὶ τὰ ψηφίσματα τὰ γενόμενα φυλάττει, καὶ τὰ ἄλλα πάντα ἀντιγράφεται, καὶ παρακάθηται τῇ βουλῇ, δεδήλωκεν Ἀριστοτέλης ἐν Ἀθηναίων πολιτείᾳ.

Γραφεὺς, ἀντὶ τοῦ ζωγράφος. Δημοσθένης κατὰ Μειδίου. καὶ γράφειν τὸ ζωγραφεῖν ἔλεγον.

Γραφὴ, δημοσίου τινὸς ἐγκλήματος ὄνομα. οὐ μόνον δὲ ὅταν ψηφίσματος ἢ νόμου κατηγορῇ τις, παρανόμων γραφὴν ἀποφέρεσθαι καὶ γράφεσθαι λέγεται, ἀλλὰ καὶ ἐπ' ἄλλοις πολλοῖς ἀδικήμασιν, ὅταν ἢ δημο- 71 σίᾳ, ἢ ὡς ἐπὶ δημοσίοις αὐτοῖς ἐγκαλῇ τις. πολὺ δὲ (42) τοὔνομα παρὰ τοῖς ῥήτορσι. Δημοσθένης κατὰ Κόνωνος.

Γρυπάνιον. Ἀντιφῶν ἀληθείας δευτέρῳ· Καῖον γὰρ τὴν γῆν καὶ συντῆκον, γρυπάνιον ποιεῖ. καὶ Μελάνθιος ἐν δευτέρᾳ Ἀτθίδος εἰπὼν, Σεισμὸς γέγονε καὶ ἔγρυπεν ἡ γῆ. Διονύσιος μὲν οὖν ὁ τοῦ Τρύφωνος ἐν δευτέρῳ ὀνομάτων, γρυπανεῖν ἐστὶ, φησὶ, τὸ γρυποῦσθαι, οἷον τὰ ἁπαλὰ ξυλύφια, ὅταν κάμψαντες ἀφῶμεν.

μήποτε δ' ἐμφαίνουσιν οἱ συγγραφεῖς, ὡς γινομένης κατὰ τοὺς σεισμοὺς γρυπότητός τινος περὶ τὴν γῆν.

Γρύλλος, Ὑπερίδης ἐν τῷ πρὸς Ἐπικλέα περὶ οἰκίας. Ξενοφῶντος τοῦ Σωκρατικοῦ υἱοί, Γρύλλος καὶ Διόδωρος. ἐτελεύτησε δὲ οὗτος ἐν Μαντινείᾳ μαχόμενος.

Γύλιος, σκεῦος στρατιωτικὸν πλεκτὸν, εἰς ὃ ἐνετίθετο τὰ ἐπιτήδεια, ὡς καὶ Ἀριστοφάνης δηλοῖ ἐν Εἰρήνῃ.

Γύλιππος, ὄνομα κύριον, Λακεδαιμόνιος.

Γύλων, ὄνομα κύριον.

72 Γωνιασμός. Λυσίας ἐν τῷ κατὰ Λυσιθέου· ἔστι δὲ κάμψαντι τοῦ τείχους, ὦ βουλή, γωνιασμὸς ἐν ἀριστερᾷ καὶ εὐρυχωρία. καὶ Ἀριστοφάνης ἐν Βατράχοις,

λεπτῶν τε κανόνων ἐσβολάς, ἐπῶν τε γωνιασμούς.

Δ.

Δαιδάλου ποιήματα. ἐπὶ τῶν ἀκριβούντων τὰς τέχνας.

Δάειρα, ὄνομα κύριον.

Δάμων, ὄνομα κύριον, διδάσκαλος Περικλέους.

Δάοχος, Δημοσθένης. εἷς οὗτος τῶν προεμένων Φιλίππῳ τὰ Θετταλῶν πράγματα.

Δαρεικὸς, Λυσίας ἐν τῷ κατ' Ἐρατοσθένους ἑνὸς τῶν Τριάκοντα. εἰσὶ μὲν χρυσοῖ στατῆρες οἱ δαρεικοί, ἠδύνατο δὲ ὁ εἷς ταυτὸ ὅπερ καὶ ὁ χρυσοῦς (48) παρὰ τοῖς Ἀττικοῖς ὀνομαζόμενος. ἐκλήθησαν δὲ δαρεικοὶ οὐχ ὡς οἱ πλεῖστοι νομίζουσιν, ἀπὸ Δαρείου τοῦ Ξέρξου πατρὸς, ἀλλ' ἀφ' ἑτέρου τινος παλαιοτέρου βασιλέως. λέγουσι δέ τινες δύνασθαι τὸν δαρεικὸν ἀργυρᾶς δραχμὰς 73 εἴκοσι, ὡς τοὺς πέντε δαρεικοὺς δύνασθαι μνᾶν ἀργυρίου.

Δατεῖσθαι, τὸ μερίζεσθαι. οἱ δὲ δατηταὶ οἱονεὶ μερισταί. τὸ δὲ, εἰς δατητῶν αἵρεσιν, εἶδός τι δίκης ἐστίν. ὁπότε γὰρ κοινωνοῖέν τινες ἀλλήλοις, καὶ οἱ μὲν βούλοιντο διανέμεσθαι τὰ κοινὰ, οἱ δὲ μή, ἐδικάζοντο οἱ βουλόμενοι τοῖς μὴ βουλομένοις, προσκαλούμενοι εἰς δατητῶν αἵρεσιν. Λυσίας ἐν τῷ πρὸς Ἀλεξίδημον, εἰ γνήσιος. καὶ Ἀριστοτέλης ἐν τῇ Ἀθηναίων πολιτείᾳ.

Δατὸς, πόλις ἐστὶ Θράκης σφόδρα εὐδαίμων. ἀπὸ ταύτης γοῦν ἐλέγετό τις καὶ παροιμία, Δατὸς ἀγαθῶν. δεδηλώκασι δὲ περί τε αὐτῆς καὶ τῆς παρακειμένης χώρας, ὁτὲ μὲν τὸ Δατὸν οὐδετέρως λέγοντες, ὁτὲ δὲ τὴν Δατὸν θηλυκῶς· ὡς ἀεὶ Ἔφορος ἐν τῇ τετάρτῃ. ἅπαξ δ' ἀῤῥενικῶς τὸν Δατὸν Θεόπομπος τρίτῃ Φιλιππικῶν. μετωνομάσθη μέντοι ἡ πόλις τῶν Δατηνῶν,

Φιλίππου τοῦ Μακεδόνων βασιλέως κρατήσαντος αὐτῆς· ὡς Ἔφορός τέ φησι καὶ Φιλόχορος ἐν τῇ πέμπτῃ.

74 Δεήσεις, ἀντὶ τοῦ ἐνδείας. Ἀντιφῶν ἀληθείας πρώτῳ.

Δεῖγμα, κυρίως μὲν τὸ δεικνύμενον ἀφ' ἑκάστου τῶν πωλουμένων. ἤδη δὲ καὶ τόπος τις ἐν τῷ Ἀθήνῃσιν ἐμπορίῳ, εἰς ὃν τὰ δείγματα ἐκομίζετο, οὕτως ἐκαλεῖτο. ἔστι δὲ τὸ ἔθος Ἀττικὸν, τὸ σημαίνειν ἀπὸ τῶν ἐν τῷ τόπῳ τοὺς τόπους αὐτούς. Δημοσθένης ἐν τῷ περὶ τοῦ τριηραρχήματος. καὶ Λυσίας.

Δειπνοφόρος, Ὑπερίδης ἐν τῷ κατὰ Δημάδου. λέγεται δὲ καὶ τὰς δειπνοφόρους καταλέγεσθαι νῦν, ὅτι αἱ τῶν κατακεκλειμένων παίδων μητέρες εἰσέπεμπον καθ'
(44) ἡμέραν αὐτοῖς τροφὴν εἰς τὸ τῆς Ἀθηνᾶς ἱερὸν, ἐν ᾧ διῃτῶντο. καὶ αὗται συνῆσαν ἀσπαζόμεναι τοὺς ἑαυτῶν.

Δειραδιώτης. δῆμος τῆς Λεοντίδος φυλῆς Δειράδες, ἀφ' οὗ ὁ δημότης Δειραδιώτης.

Δεινῷ, ἀντὶ τοῦ δεινήσει. Ἀντιφῶν ἀληθείας δευτέρῳ.

Δεκάζων, Ἰσοκράτης περὶ τῆς εἰρήνης. ὅ τί ποτε τοῦτ' ἐστὶ, δῆλον ἅπασιν. Ἐρατοσθένης δὲ ἐν τοῖς περὶ
75 τῆς ἀρχαίας κωμῳδίας, πόθεν τὸ πρᾶγμα εἴρηται δηλοῖ, οὕτω λέγων· Λύκος ἐστὶν ἥρως πρὸς τοῖς ἐν Ἀθήναις δικαστηρίοις, τοῦ θηρίου μορφὴν ἔχων· πρὸς ὃν οἱ δωροδοκοῦντες κατὰ δέκα γιγνόμενοι συνεστρέφοντο, ὅθεν εἴρηται Λύκου δεκάς. Ἀριστοτέλης δ' ἐν Ἀθηναίων πολιτείᾳ Ἄνυτόν φησι καταδεῖξαι τὸ δεκάζειν τὰ δικαστήρια.

Δέκα καὶ Δεκαδοῦχος. Ἰσοκράτης ἐν τῇ πρὸς Καλλίμαχον παραγραφῇ· ἦρχον μὲν γὰρ οἱ Δέκα, οἱ μετὰ τοὺς Τριάκοντα καταστάντες. περὶ τῶν μετὰ τὴν κατάλυσιν τῶν Τριάκοντα Ἀθήνῃσι χειροτονηθέντων ἀνδρῶν Δέκα, καὶ τῶν ἑξῆς, εἴρηκεν Ἀνδροτίων ἐν τῇ τρίτῃ. ἐκαλεῖτο μέντοι τούτων ἕκαστος τῶν ἀρχόντων δεκαδοῦχος, ὡς δῆλον ποιεῖ Λυσίας ἐν τῷ περὶ τοῦ Διογένους κλήρου.

Δεκαδαρχία. Ἰσοκράτης. τὰς μὲν ὑπὸ Λακεδαιμονίων κατασταθείσας πόλεσι δεκαδαρχίας συνεχῶς ὀνομάζουσιν οἱ ἱστορικοί· ὁ μέντοι Ἰσοκράτης ἐν τῷ Παναθηναϊκῷ τρόπον τινὰ ἐξηγήσατο τοὔνομα. φησὶ γὰρ ὅτι Λακεδαιμόνιοι δέκα μόνον ἄνδρας κυρίους ἑκάστης πόλεως ἐποίησαν. Φίλιππος μέντοι παρὰ Θετταλοῖς δε- 76 καδαρχίας οὐ κατέστησεν, ὡς γέγραπται ἐν τῷ ἕκτῳ Φιλιππικῶν Δημοσθένους, ἀλλὰ τετραρχίας.

Δεκατεύειν. Δημοσθένης κατ' Ἀνδροτίωνος· οὐ γὰρ αὐτοὺς δεκατεύοντες, ἀντὶ τοῦ τὴν δεκάτην εἰσπραττόμενοι καὶ οἷον λαφυραγωγοῦντες. τὰ γὰρ ἐκ τῶν πολεμίων ληφθέντα ἐδεκάτευον τοῖς θεοῖς. Δημοσθένους δ' ἐν τῷ κατὰ Μέδοντος περί τινος παρθένου (45) λέγοντος οὕτως, Οὐ δεκατεῦσαι ταύτην οὐδὲ μυῆσαι, Δίδυμος ὁ γραμματικὸς περὶ τούτου βιβλίον γράψας φησὶν ὅτι τὸ δεκατεῦσαι Λυσίας ἐν τῷ περὶ τῆς Φρυνίχου θυγατρὸς ἀρκτεῦσαι εἴρηκεν. δεκατεῦσαι μέντοι, φησίν, ἐλέγετο κυρίως τὸ καθιεροῦν, ἐπειδήπερ ἔθος ἦν Ἑλληνικὸν τὰς δεκάτας τῶν περιγινομένων τοῖς θεοῖς καθιεροῦν. ἴσως δὲ τὸ ἀρκτεῦσαι δεκατεῦσαι εἴρηκεν ὁ ῥήτωρ, ἐπειδὴ αἱ δεκετίδες ἤρκτευον.

Δεκατευτάς, ἀντὶ τοῦ τελώνας, τοὺς τὴν δεκάτην ἐκλέγοντας. Ἀντιφῶν ἐν τῇ πρὸς Δημοσθένους γραφὴν ἀπολογίᾳ. ὅτι δὲ ἦν τελώνιον ἡ δεκάτη, δεδήλωκε Δημοσθένης ἐν τῷ περὶ τῶν τελῶν.

Δεκατηλόγος, ὁ αὐτὸς τῷ δεκατευτῇ. 77

Δεκελεικός, Πελοποννησιακὸς πόλεμος, ἀπὸ μέρους τοῦ τελευταίου.

Δελφίνιον, χωρίον ἐν Χίῳ, ὡς Θουκυδίδης ἐν τῇ ὀγδόῃ. ἕτερον δ' ἐστὶν Δελφίνιον Ἀθήνησιν ἱερὸν Ἀπόλλωνος, ἔνθα ἦν καὶ τὸ ἐν Δελφινίῳ δικαστήριον. Δημοσθένης ἐν τῷ πρὸς Βοιωτόν.

Δερκυλλίδας, Λακεδαιμονίων βασιλεύς.

Δερματικὸν, Λυκοῦργος ἐν τῷ ἐπιγραφομένῳ ἀπολογισμὸς ὧν πεπολίτευται. δερματικὸν ἂν εἴη λέγων

ὁ ῥήτωρ τὸ ἐκ τῶν δερματίων τῶν πιπρασκομένων περιγιγνόμενον ἀργύριον.

Δ ε ρ μ ι σ τ ή ς, Λυσίας ἐν τῷ πρὸς Εὐπείθην. Δίδυμος μὲν ἀποδίδωσι τὸν σκώληκα οὕτω λέγεσθαι τῷ Σοφοκλεῖ ἐν Νιόβῃ ἐν ἑβδόμῳ τῆς ἀπορουμένης λέξεως. Ἀρίσταρχος δὲ τὸ Σοφόκλειον ἐξηγούμενος τὸν ὄφιν ἀπέδωκε. μήποτε δὲ μᾶλλον ἂν ὅστις τὰ δέρματα ἐσθίει δερμιστής, ὡς ὑποσημαίνεται καὶ ἐν τῇ ἕκτῃ Μιλησιακῶν Ἀριστείδου.

(46) *Δ ε υ σ ο π ο ι ό ς*, κυρίως μὲν ἐπὶ τῆς πορφύρας λέ-
78 γεται τοὔνομα τῆς ἔμμονον καὶ ἀνέκπλυτον ἐχούσης τὸ ἄνθος τῆς βαφῆς, ἐκ μεταφορᾶς δὲ καὶ ἐπὶ τῶν ἄλλων πάντων τῶν ἐχόντων τὸ χρῶμα ἔμμονον καὶ πολυχρόνιον τὸ δευσοποιὸν λέγεται παρὰ τοῖς παλαιοῖς, ὡς καὶ Πλάτων διασαφεῖ ἐν πέμπτῳ πολιτείας. Δίφιλος Συντρόφοις,

ἀγαθὸς βαφεὺς ἔνεστιν ἐν τῷ παιδίῳ.
ταυτὶ γὰρ ἡμῖν δευσοποιὰ παντελῶς
τὰ σπάργανα ἀποδέδειχε νῦν.

Δ η λ ι α σ τ α ί, οἱ εἰς Δῆλον ἐξελθόντες θεωροί. Λυκοῦργος κατὰ Μενεσαίχμου.

Δ η μ α ί ν ε τ ο ς, ὄνομα κύριον.

Δ ή μ α ρ χ ο ς, Λυσίας ἐν τῷ κατὰ Μόσχου. ἄρχων τις ἦν ὁ Δήμαρχος· οὗτοι δὲ τὰς ἀπογραφὰς ἐποιοῦντο τῶν ἑκάστῳ δήμῳ χωρίων· ἔτι δὲ καὶ τὰ ληξιαρχικὰ γραμματεῖα παρὰ τούτοις ἦν, καὶ συνῆγον τοὺς δήμους, ὁπότε δεήσειεν, καὶ ψῆφον αὐτοῖς ἐδίδοσαν. τούτους δέ φησιν Ἀριστοτέλης ἐν Ἀθηναίων πολιτείᾳ ὑπὸ Κλεισθένους κατασταθῆναι, τὴν αὐτὴν ἔχοντας ἐπιμέλειαν ταῖς πρότερον Ναυκράροις. ὅτι δὲ ἠνεχυρίαζον οἱ Δή-
79 μαρχοι, δηλοῖ Ἀριστοφάνης ἐν Σκηνὰς καταλαμβανούσαις.

Δ η μ ό κ ο ι ν ο ς, ὁ δημόσιος βασανιστής. Ἰσοκράτης ἐν τῷ Τραπεζιτικῷ σχεδὸν ἐξηγήσατο τοὔνομα.

Δ η μ ο π ο ί η τ ο ς, ὁ ξένος μὲν ὢν τῇ φύσει, ὑπὸ δὲ τοῦ δήμου πολίτης γεγενημένος. ὃν δὲ τρόπον γίνον-

ται τινες δημοποίητοι, δεδήλωκε Δημοσθένης ἐν τῷ κατὰ Νεαίρας, εἰ γνήσιος.

Δημόσιος, Δημοσθένης Φιλιππικοῖς. δημοσίους λέγουσι τοὺς τῆς πόλεως δούλους. Αἰσχίνης κατὰ Τιμάρχου· Ἄνθρωπον δημόσιον οἰκέτην τῆς πόλεως.

Δημοτελῆ καὶ Δημοτικὰ ἱερὰ διέφερον ἀλλή- (47) λων καὶ ὀργεωνικῶν καὶ τῶν γενικῶν, ὡς Δείναρχος δηλοῖ ἐν τῷ κατὰ Στεφάνου.

Δημοτευόμενος. δημοτεύεσθαί ἐστι τὸ τοῦδε τινὸς δήμου κοινωνεῖν, καὶ χρηματίζειν ἀπ' αὐτοῦ. Ἀντιφῶν ἐν τῇ πρὸς Φίλιππον ἀπολογίᾳ, εἰ γνήσιος.

Δημοφάνης, ὄνομα κύριον.

Διαγορεύων. Ἰσαῖος ἐν τῷ κατὰ Διοκλέους ἰδίως κέχρηται τῷ διαγορεύων ἀντὶ τοῦ τὰ διάφορα καὶ οὐ τὰ αὐτὰ λέγων. τὸ ἐναντίον γάρ ἐστι παρ' αὐτοῖς τῷ διαγορεύειν τὸ συναγορεύειν, ὥσπερ τὸ συμφέ- 80 ρεσθαι τῷ διαφέρεσθαι, καὶ τὸ συμπολιτεύεσθαι τῷ διαπολιτεύεσθαι, καὶ τὸ συμφωνεῖν τῷ διαφωνεῖν.

Διάγραμμα, Ὑπερίδης ἐν τῷ πρὸς Ἐπικλέα. τὸ ταττόμενον ἐν ταῖς συμμορίαις ὁπόσον ἕκαστον ἄνδρα εἰσφέρειν δεῖ. ἐτάττετο δὲ οὐ τὸ αὐτὸ πᾶσιν, ἀλλὰ πρὸς τὴν τίμησιν τῆς οὐσίας. περὶ δὲ τούτων σαφέστατα δεδήλωκεν Ὑπερίδης ἐν τῷ κατὰ Πολυεύκτου περὶ διαγράμματος. διαγραφεὺς μέντοι ἐστὶν ὁ καθιστάμενος ἐν ταῖς συμμορίαις ἐπὶ τῷ διακρῖναι πόσον ἕκαστος ἀνὴρ εἰσενεγκεῖν ὀφείλει, ὡς ὁ αὐτὸς πάλιν φανερὸν ποιεῖ ἐν τῷ κατὰ Πολυεύκτου.

Διαγραφή, ἡ διατύπωσις τῶν πιπρασκομένων μετάλλων, δηλοῦσα διὰ γραμμάτων ἀπὸ ποίας ἀρχῆς μέχρι πόσου πιπράσκεται πέρατος.

Διαγράψασθαι, Λυσίας ἐν τῷ κατὰ Νικίου, εἰ γνήσιος. ἀντὶ τοῦ ἀνελέσθαι τὸ ἔγκλημα.

Διαγράψαντος, Δείναρχος κατὰ Λυκούργου. μήποτε ἀντὶ τοῦ καταβαλόντος καὶ καταθέντος. ἔνιοι δὲ

ἀντὶ τοῦ διὰ τραπέζης ἀριθμήσαντος, ὡς λέγομεν ἐν τῇ συνηθείᾳ.

81 Διαδόσεις, τὰς ἐκ διαιρέσεως ἴσης ἐπιβαλλούσας δόσεις. Λυσίας.

(48) Διακεχρημένον, ἀντὶ τοῦ κατὰ μέρος δεδανεισμένον. Δημοσθένης κατὰ Ἀφόβου.

Διάστασις. Ἀντιφῶν ἀληθείας δευτέρῳ· περὶ τῆς νῦν κρατούσης διαστάσεως, ἀντὶ τοῦ διακοσμήσεως τῶν ὅλων.

Διάθεσις, ἀντὶ τοῦ πρᾶσις. Ἰσοκράτης Βουσίριδι. ἀντὶ δὲ τοῦ ἀποδεδόμεθα διαθέμεθα εἶπεν Ἀντιφῶν ἐν τῷ πρὸς τὴν Καλλίου ἔνδειξιν· καὶ ἀντὶ τοῦ διοίκησις ὁ αὐτὸς ἐν τῷ περὶ ὁμονοίας, Ἀλλὰ εἰδότες τὴν διάθεσιν ἀκούουσιν. Φρύνιχος Τραγῳδοῖς, τῇ διαθέσει τῶν ἐπῶν φησι. καὶ γὰρ τὸ ῥῆμα διαθέσθαι λέγουσιν ἐπὶ τοῦ διοικῆσαι. Ἀντιφῶν ἀληθείας πρώτῳ· Γυμνωθεῖσα δὲ ἀφορμῆς πολλὰ ἂν καὶ καλὰ κακῶς διαθοῖτο. διαθέσθαι ἀντὶ τοῦ συνθέσθαι Ὑπερίδης κατὰ Δημοσθένους.

Διαιτηταί, Δημοσθένης ἐν τῷ κατὰ Μειδίου. εἰσὶ δὲ οἱ διαιτηταὶ ἕτεροι τῶν δικαστῶν. οὗτοι μὲν γὰρ ἐν δικαστηρίοις ἐδίκαζον ἀποδεδειγμένοις, καὶ τὰς ἀπὸ τῶν διαιτητῶν ἐφεσίμους ἔκρινον· οἱ δὲ διαιτηταὶ κλήρῳ
82 πρότερον λαχόντες, ἢ ἐπιστρεψάντων αὐτοῖς τῶν κρινομένων τοῖς κρινομένοις διῄτων. καὶ εἰ μὲν ἤρεσκε τοῖς ἀντιδίκοις, τέλος εἶχεν ἡ δίκη· εἰ δὲ μή, τὰ ἐγκλήματα καὶ τὰς προκλήσεις καὶ τὰς μαρτυρίας, ἔτι δὲ καὶ τοὺς νόμους καὶ τὰς ἄλλας πίστεις ἑκατέρων ἐμβαλόντες εἰς καδίσκους καὶ σημηνάμενοι παρεδίδοσαν τοῖς εἰσαγωγεῦσι τῶν δικῶν. λέγει δὲ περὶ αὐτῶν Ἀριστοτέλης Ἀθηναίων πολιτείᾳ.

Διαστῆσαι, ἀντὶ τοῦ διαταράξαι καὶ οἷον ἀδύνατον ποιῆσαι. Ἀντιφῶν ἐν τῷ περὶ τῆς Μεταστάσεως. Μένανδρος Χήρᾳ,

βοῶν ποιείτω τὴν πόλιν διάστατον.

Διάληξις. διαλαγχάνειν μὲν ἐστι τὸ διαιρεῖσθαι κλήρῳ, διάληξις δὲ τὸ πρᾶγμα. Ἀντιφῶν ἐν τῷ κατὰ (49) Φιλίνου.

Διὰ μέσου τείχους, Ἀντιφῶν πρὸς Νικοκλέα, τριῶν ὄντων τειχῶν ἐν τῇ Ἀττικῇ, ὡς καὶ Ἀριστοφάνης φησὶν ἐν Τριφάλητι, τοῦ τε Βορείου καὶ τοῦ Νοτίου καὶ τοῦ Φαληρικοῦ, διὰ μέσου τούτων ἐλέγετο τὸ Νότιον, οὗ μνημονεύει καὶ Πλάτων ἐν Γοργίᾳ.

Διαμεμετρημένη ἡμέρα, μέτρον τι ὕδατος ἐστι πρὸς μεμετρημένον ἡμέρας διάστημα ῥέον· ἐμετρεῖτο 83 δὲ τῷ Ποσειδεῶνι μηνί. πρὸς δὴ τοῦτο ἠγωνίζοντο οἱ μέγιστοι καὶ περὶ τῶν μεγίστων ἀγῶνες. διενέμετο δὲ εἰς τρία μέρη τὸ ὕδωρ, τὸ μὲν τῷ διώκοντι, τὸ δὲ τῷ φεύγοντι, τὸ τρίτον τοῖς δικάζουσι. ταῦτα δὲ σαφέστατα αὐτοὶ οἱ ῥήτορες δεδηλώκασιν, ὥσπερ καὶ Αἰσχίνης ἐν τῷ κατὰ Κτησιφῶντος. Ἀριστοτέλης δ' ἐν τῇ Ἀθηναίων πολιτείᾳ διδάσκει περὶ τούτων. σκεπτέον τὸ παρ' Ἰσαίῳ ἐν τῷ κατ' Ἐλπαγόρου καὶ Δημοφάνους, πῶς μεμετρημένης τῆς ἡμέρας, ὁτὲ μὲν φασι χωρὶς ὕδατος γίνεσθαι τοὺς ἀγῶνας, ὁτὲ δὲ πρὸς ὕδωρ.

Διάμετρον, τὸ ἐλλεῖπον ἀπὸ τοῦ δικαίως μετρηθέντος. Δείναρχος ἐν τῇ κατὰ Καλλισθένους εἰσαγγελίᾳ.

Διαμαρτυρία καὶ διαμαρτυρεῖν. τρόπος τις ἦν παραγραφῆς ἡ διαμαρτυρία. πρὸ γὰρ τοῦ εἰσαχθῆναι τὴν δίκην εἰς τὸ δικαστήριον ἐξῆν τῷ βουλομένῳ διαμαρτυρῆσαι, ὡς εἰσαγώγιμός ἐστιν ἡ δίκη, ἢ οὐκ εἰσαγώγιμος. διαφέρει δὲ τῆς παραγραφῆς, τῷ τὴν διαμαρτυρίαν γίνεσθαι οὐ μόνον ὑπὸ τῶν φευγόντων, ἀλλὰ καὶ ὑπὸ τῶν διωκόντων. καὶ πρότερόν γε τῷ διώκοντι ἦν προβάλλεσθαί τινα μαρτυροῦντα εἰσαγώγιμον εἶναι τὴν δίκην, καὶ περὶ τούτου πρότερον ἐγίνετο ἡ κρίσις πρὸς αὐτὸν τὸν διαμαρτυρήσαντα, οὐ πρὸς τὸν ἐξαρχῆς δικαζόμενον· εἰ δὲ μὴ προὐβάλλετο μάρτυρα ὁ διώκων, τότε ἐξῆν τῷ φεύγοντι προσαγαγεῖν τινα μαρτυροῦντα μὴ εἰσαγώγιμον εἶναι τὴν δίκην, καὶ πάλιν πρὸς τὸν διαμαρτυρήσαντα ὁ ἀγὼν ἐγίνετο. (50)

ἐπεσκήπτοντο δὲ ψευδομαρτυριῶν καὶ ταῖς διαμαρτυρίαις, ὥσπερ καὶ ταῖς μαρτυρίαις. Λυσίας ἐν τῇ πρὸς Ἀριστόδημον διαμαρτυρίᾳ, εἰ γνήσιος ὁ λόγος. Ἰσαῖος δ' ἐν τῷ πρὸς Πύθωνα ἀποστασίου φησὶν ὅτι οὐχ οἷόν τε διαμαρτυρεῖν οὐσίαν. ὁ Ὑπερίδης δ' ἐν τῷ κατ' Ἀρισταγόρας ἀπροστασίου δευτέρῳ φησὶν ὡς οἱ νόμοι κελεύουσι διαμαρτυρεῖν ἐπὶ ταῖς γραφαῖς ταῖς τοῦ ἀποστασίου τὸν βουλόμενον, ὁμοίως τῶν ξένων καὶ τῶν ἐπιχωρίων. μήποτ' οὖν ἐν μὲν ταῖς τοῦ ἀποστασίου δίκαις κεκώλυνται διαμαρτυρεῖν οἱ ξένοι, ἐν δὲ ταῖς τοῦ ἀπροστασίου οὐ κεκώλυνται. Δείναρχος μέντοι διαμαρτυρῆσαι τεθεώρηκεν, οὐκ ἐπὶ τοῦ μαρτυρήσαντος αὐτοῦ,
85 ἀλλ' ἐπὶ τοῦ παρασχόντος τινὰ διαμαρτυρήσαντα, ἐν τῇ διαμαρτυρίᾳ, περὶ τοῦ μὴ ἐπίδικον εἶναι τὴν Ἀριστοφῶντος θυγατέρα. οὗτος δὲ ὁ ῥήτωρ ἐν τῷ κατὰ Ἡδύλης καὶ τὸν τρόπον διαγράφει τῆς διαμαρτυρίας.

Διασκευάσασθαι, ἀντὶ τοῦ σκευάσασθαι. Ἰσαῖος ἐν τῷ πρὸς Καλλικράτην.

Διασείστους, Αἰσχίνης κατὰ Τιμάρχου. ἐοίκασιν ὠνομάσθαι παρὰ τὸ κινεῖσθαι καὶ διασείεσθαι πρότερον, εἶτα βάλλεσθαι, ἵν' ἀκακούργηται μᾶλλον ὦσι. Μένανδρος Πωλουμένοις.

Διαχειροτονία, διάκρισις τῆς χειροτονίας ἐν πλήθει γινομένης. Δημοσθένης ἔν τε τῷ κατὰ Τιμοκράτους καὶ κατὰ Ἀνδροτίωνος.

Διαψήφισις ἰδίως λέγεται ἐπὶ τῶν ἐν τοῖς δήμοις ἐξετάσεων, αἳ γίγνονται περὶ ἑκάστου τῶν δημοτευομένων, εἰ τῷ ὄντι πολίτης καὶ δημότης ἐστὶν, ἢ παρεγγέγραπται ξένος ὤν. Αἰσχίνης κατὰ Τιμάρχου. ἐντελέστατα δὲ διείλεκται περὶ τῶν διαψηφίσεων, ὡς γεγόνασιν ἐπὶ Ἀρχίου ἄρχοντος, Ἀνδροτίων ἐν τῇ Ἀτθίδι καὶ Φιλόχορος ἐν ἕκτῳ τῆς Ἀτθίδος.

(51) Διδάσκαλος. ἰδίως διδασκάλους λέγουσι τοὺς
86 ποιητὰς τῶν διθυράμβων, ἢ τῶν κωμῳδιῶν, ἢ τῶν τραγῳδιῶν. Ἀντιφῶν ἐν τῷ περὶ τοῦ Χορευτοῦ, Ἔλαχόν, φησι, Πεντακλέα διδάσκαλον. ὅτι γὰρ ὁ Πεντα-

κλῆς ποιητής, δεδήλωκεν Ἀριστοτέλης ἐν ταῖς Διδασκαλίαις. πολὺ δέ ἐστιν κἀν τῇ ἀρχαίᾳ κωμῳδίᾳ τοὔνομα ἐπὶ τούτου τοῦ σημαινομένου.

Διεγγύησιν, ἀντὶ τοῦ κατάστασιν ἐγγυητῶν. Δημοσθένης κατὰ Τιμοκράτους. ἐν δὲ τῷ κατὰ Νεαίρας, εἰ γνήσιος ὁ λόγος, φησί· διεγγυηθεῖσα ὑπὸ τοῦ Στεφάνου.

Διεκωδώνισε, Δημοσθένης ἐν τῷ περὶ τῆς παραπρεσβείας, ἀντὶ τοῦ διεπείρασε καὶ ἐξέτασεν. ἡ δὲ μεταφορὰ ἤτοι ἀπὸ τῶν περιπολούντων σὺν κώδωσι νυκτὸς τὰς φυλακάς, Εὐριπίδης Παλαμήδει· ἢ ἀπὸ τῶν δοκιμαζόντων τὰς μαχίμους ὄρτυγας τῷ ἤχῳ τοῦ κώδωνος, ὡς Ἀρίσταρχος.

Δι' ἐνιαυτοῦ, ἀντὶ τοῦ δι' ὅλου τοῦ ἐνιαυτοῦ. Ἀντιφῶν περὶ τοῦ Λινδίων φόρου. Τηλεκλείδης δ' ἐν τῷ Πρυτανείῳ δι' ἡμέρας εἶπεν ἀντὶ τοῦ δι' ὅλης τῆς ἡμέρας.

Διεσπευσάμην, ἀντὶ τοῦ διὰ σπουδῆς ἐποιησάμην, ἢ ἀντὶ τοῦ διεπραξάμην. Ἰσαῖος ἐν τῷ πρὸς Ἕρ- 87
μωνα περὶ ἐγγύης.

Διεσκαριφησάμεθα, ἀντὶ τοῦ διελύσαμεν. σκάριφον γάρ ἐστι τὸ κάρφος καὶ φρύγανον. ἔστι δὲ τὰ τοιαῦτα εὐδιάλυτα καὶ εὐφύσητα. Ἰσοκράτης Ἀρεοπαγιτικῷ, διεσκαριφησάμεθα. σκαριφήσασθαι γάρ ἐστι τὸ ἐπισεσυρμένως τι ποιεῖν καὶ μὴ κατὰ τὴν προσήκουσαν ἀκρίβειαν.

Διετείνοντο. ἰδίως Ἀντιφῶν τοῦτ' ἔταξεν ἐν τῷ περὶ τοῦ Ἡρώδου φόνου, ἀντὶ τοῦ διὰ συντόνου σπουδῆς ἀπηρνήσαντο.

Διήλλαξεν, ἀντὶ τοῦ μετήλλαξεν, ἐτελεύτησε. Λυκοῦργος ἐν τῷ περὶ τῆς Ἱερείας.

Διῆρξα, ἀντὶ τοῦ διὰ τέλους ἦρξα. Λυσίας ἐν τῇ πρὸς τὴν Μιξιδήμου γραφὴν ἀπολογίᾳ.

Διιπόλια. ἑορτή τις ἦν Ἀθήνῃσι τὰ Διιπόλια. (52)
Ἀντιφῶν ἐν τῷ περὶ τοῦ Χορευτοῦ.

Δικαιογένης. τραγῳδίας οὗτος ποιητὴς καὶ διθυράμβους ἔγραψε.

Δικαιόπολις, Λυσίας ἐν τῷ κατὰ Θρασυβούλου, εἰ γνήσιος. πόλις ἐν τῇ Θρᾴκῃ πλησίον Ἀβδήρων. τυχὸν δὲ καὶ ἑτέρα τίς ἐστι Δικαιόπολις.

88 *Δικαίωσις.* Λυσίας ἐν τῷ περὶ στρατιώτου, εἰ γνήσιος. καὶ μάλα τὰς δικαιώσεις φησὶν ἀντὶ τοῦ δικαιολογίας· ὁ μέντοι Θουκυδίδης πολλάκις τὴν δικαίωσιν ἐπὶ τῆς κολάσεως τάττει.

Δίκη. σημαίνει καὶ ἄλλα τὸ ὄνομα· ἰδίως δὲ λέγεται ἐπὶ τῶν ἰδιωτικῶν ἐγκλημάτων, ὃ σαφὲς ποιεῖ Δημοσθένης ἐν τῷ κατὰ Κόνωνος.

Διοικεῖν, ἀντὶ τοῦ διαιρήσειν, ὥστε μὴ ἐν ταυτῷ πάντας οἰκεῖν, ἀλλὰ χωρὶς καὶ κατὰ μέρος. Δημοσθένης ἐν Φιλιππικοῖς.

Διοπτεύων, Δημοσθένης ἐν τῷ εἰς τὴν Λακρίτου. δίοπος λέγεται νεὼς ὁ διέπων καὶ ἐποπτεύων τὰ κατὰ τὴν ναῦν, ὁ καθ' ἡμᾶς λεγόμενος ἐπίπλους.

Διότιμος, ὄνομα κύριον, ναύαρχος Ἀθηναίων.

Διόφαντος, ὄνομα κύριον.

Διωλύγιον, Ἰσαῖος ἐν τῷ πρὸς Στρατοκλέα. πράγματα διωλύγια, ἀντὶ τοῦ μεγάλα. καὶ Πλάτων.

Διωμοσία, κυρίως ἡ παρὰ τῶν διαδικαζομένων. Δημοσθένης κατ' Ἀριστοκράτους.

Δοκιμασθείς, ἀντὶ τοῦ εἰς ἄνδρας ἐγγραφείς, 89 Δημοσθένης ἐν τῷ κατὰ Ὀνήτορος. λέγεται δὲ καὶ ἐπὶ τῶν ἀρχόντων δοκιμασθῆναι, ὡς ὁ αὐτὸς ῥήτωρ ἐν τῇ πρὸς Εὐβουλίδην ἐφέσει δηλοῖ. ἐλέγετο δὲ καὶ ἐπὶ τῶν πολιτευομένων, κἂν μηδ' ἥντιναοῦν ἀρχὴν ἦρχον· ἐξητάζετο γὰρ αὐτῶν ὁ βίος ἐνίοτε, ὡς Αἰσχίνης ἐν τῷ (58) κατὰ Τιμάρχου φησί. Λυκοῦργος δ' ἐν τῷ περὶ τῆς διοικήσεως, τρεῖς δοκιμασίαι κατὰ τὸν νόμον, φησί, γίνονται· μία μέν, ἣν οἱ ἐννέα ἄρχοντες δοκιμάζονται· ἑτέρα δέ, ἣν οἱ ῥήτορες· τρίτη δέ, ἣν οἱ στρατηγοί. λέγει μέντοι ἐν τῷ αὐτῷ λόγῳ καὶ ἱππέων δοκιμασίαν.

Δορίσκος, χωρίον τῆς Θρᾴκης. Δημοσθένης ὑπὲρ Κτησιφῶντος. καὶ Ἡρόδοτος.

Δόσις, ἰδίως μὲν λέγεται παρὰ τοῖς ῥήτορσι συμβόλαιον γραφόμενον, ὅταν τις τὰ αὐτοῦ διδῷ τινι διὰ τῶν ἀρχόντων, ὡς παρὰ Δεινάρχῳ.

Δρακοντίδης, εἷς τῶν τριάκοντα. Ὑπερίδης.

Δράκων. οὗτος ἐπιφανέστατος νομοθέτης, ὡς Αἰσχίνης. ἕτερος δ' ἐστὶ Δράκων, οὗ Ἰσοκράτης ἐν τῷ Πανηγυρικῷ μέμνηται.

Δρογγίλον, Θρᾳκικὸν χωρίον. Δημοσθένης Φι- 90
λιππικοῖς.

Δρομοκήρυκες, Αἰσχίνης. οἱ λεγόμενοι ἡμεροδρόμοι.

Δρυμὸς, πόλις μεταξὺ Βοιωτίας καὶ τῆς Ἀττικῆς. Δημοσθένης ἐν τῷ περὶ τῆς παραπρεσβείας. Ἀριστοτέλης δ' ἐν τοῖς Δικαιώμασί φησιν οὕτως· Ἔπειτα Δρυμὸν ἓν Ἀττικὸν καὶ ἕτερον Βοιώτιον.

Δρῦς, Δημοσθένης κατ' Ἀριστοκράτους, πόλις ἐν Ἠπείρῳ. ἔστι δὲ καὶ ἑτέρα ἐν Θρᾴκῃ, ἧς νῦν ὁ ῥήτωρ μνημονεύει. ταύτην Θεόπομπος ἐν εἰκοστῇ πέμπτῃ φησὶν ὑπὸ Ἰφικράτους κατοικισθῆναι.

Δυσάνιος, Ἀντιφῶν, ὁ ἐπὶ παντὶ ἀνιώμενος, κἂν μικρὸν καὶ εὐκαταφρόνητον ᾖ. καὶ Ἱπποκράτης ἐχρήσατό που τῷ ὀνόματι καὶ Μένανδρος.

Δυσαύλης, Δείναρχος ἐν τῇ περὶ τῆς Ἱερείας διαδικασίᾳ, εἰ γνήσιος. Ἀσκληπιάδης δ' ἐν τετάρτῳ τραγῳδουμένων τὸν Δυσαύλην αὐτόχθονα εἶναι φησί, συνοικήσαντα δὲ Βαυβοῖ σχεῖν παῖδας Πρωτονόην τε
καὶ Νίσαν· Παλαίφατος δ' ἐν πρώτῳ Τρωϊκῶν, σὺν 91
τῇ γυναικὶ φησὶν αὐτὸν ὑποδέξασθαι τὴν Δήμητραν. (54)

Δυσωποῦμαι, ἀντὶ τοῦ φοβοῦμαι. Δημοσθένης Φιλιππικοῖς. καὶ Ξενοφῶν ἐν δευτέρῳ ἀπομνημονευμάτων.

Δωριεὺς, ὄνομα παγκρατιαστοῦ.

Δωροξενία, Λυσίας ἐν τῷ κατὰ Νικίου. ἐξηγήσατο τοὔνομα Ὑπερίδης ἐν τῷ κατ' Ἀρισταγόρας οὕτω

γράφων· Ἐπεὶ καὶ ὁ τῆς δωροξενίας νόμος ἁρμόττων ἐστὶ τῷ νῦν ἀγῶνι παραχθῆναι· εἰ γὰρ καὶ τοὺς ἀποφυγόντας ξενίας εἴρηκεν ἐξεῖναι τῷ βουλομένῳ πάλιν γράψασθαι, ἐὰν μὴ δοκῶσι δικαίως τὸ πρῶτον ἀποπεφευγέναι, πῶς οὐ φανερόν ἐστι κατ' Ἀριστογόρας τὸ δίκαιον; καὶ Ἀριστοτέλης δ' ἐν τῇ Ἀθηναίων πολιτείᾳ περὶ τῶν θεσμοθετῶν λέγων γράφει ταυτί· Εἰσὶ δὲ καὶ γραφαὶ πρὸς αὐτοὺς, ὧν παράστασις τίθεται ξενίας καὶ δωροξενίας, ἄν τις δῶρα δοὺς ἀποφύγῃ τὴν συκοφαντίαν.

Δώρων γραφή. ὁπότε τις αἰτίαν ἔχει τῶν πολιτευομένων δῶρα λαβεῖν, τὸ ἔγκλημα τὸ κατ' αὐτοῦ
92 διχῶς ἐλέγετο, δωροδοκία τε καὶ δώρων γραφή. Δείναρχος οὖν λόγον μέν τινα ἐπέγραψε κατὰ Πολυεύκτου δωροδοκίας, ἐν δὲ τῷ κατὰ Πυθέου ξενίας πολλάκις ὀνομάζει τὴν τῶν δώρων γραφήν. ἰστέον ὅτι, ἐάν τις γραψάμενος μὴ μεταλάβῃ τὸ πέμπτον μέρος τῶν ψήφων, ὀφλισκάνει χιλίας, καὶ πρόσεστιν ἀτιμία τις. Λυσίας ἐν τῷ κατὰ τῶν ῥητόρων νόμου διείλεκται περὶ τούτων καὶ Θεόφραστος ἐν τοῖς περὶ τῶν νόμων.

E.

Ἑβδομευομένου, *Λυσίας ἐν τῷ πρὸς Ἐτεοκλέα περὶ χρημάτων, εἰ γνήσιος*. τοῖς ἀποτεχθεῖσι παιδίοις τὰς ἑβδομάδας καὶ τὰς δεκάτας ἦγον, καὶ τά γε ὀνόματα ἐτίθεντο αὐτοῖς οἱ μὲν τῇ ἑβδόμῃ, ὡς καὶ ὁ ῥήτωρ λέγει, οἱ δὲ τῇ δεκάτῃ. Ἀριστοτέλης δ' ἐν ἐννάτῃ (55) περὶ ζώων ἱστορίας γράφει ταυτί· Τὰ πλεῖστα δὲ ἀναιρεῖται πρὸ τῆς ἑβδόμης. διὸ καὶ τὰ ὀνόματα τότε τίθενται, ὡς πιστεύοντες ἤδη τῇ σωτηρίᾳ.

Ἐγγυθήκη. φέρεταί τις λόγος ὡς Λυσίου, ἐπι- 93
γραφόμενος περὶ τῆς ἐγγυθήκης. εἴη δ' ἂν σκεῦός τι πρὸς τὸ κρατῆρας, ἢ λέβητας, ἤ τι τοιούτων οὐκ ἀλλότριον ἐπικεῖσθαι ἐπιτήδειον εἶναι· ὡς Καλλίξενός τε ἐν τετάρτῃ περὶ Ἀλεξανδρείας ὑποσημαίνει καὶ Δαΐμαχος ὁ Πλαταιεὺς ἐν δευτέρῳ περὶ Ἰνδικῆς.

Ἑδωλιᾶσαι, *Λυκοῦργος ἐν τῷ ἐπιγραφομένῳ ἀπολογισμὸς ὧν πεπολίτευται*, ἐπὶ τοῦ καθέξεσθαι· καὶ ἑδωλίαι αἱ ἐν ταῖς ναυσὶ καθέδραι. Ἡρόδοτος πρώτῳ.

Ἔθνος, οὐ μόνον τὸ μέγα καὶ πολυάνθρωπον γένος, ἀλλὰ καὶ ἰδίως μέρος τι τῆς πόλεως. Δημοσθένης ἐν τῷ κατ' Ἀριστοκράτους· Εἴ τις ὑμᾶς ἔροιτο, τί πονηρότατον νομίζεται τῶν ἐν τῇ πόλει πάντων ἐθνῶν, οὔτε τοὺς γεωργούς, οὔτε τοὺς ἐμπόρους, οὔτε τοὺς ἐκ τῶν ἀργυρείων, οὔτε τῶν τοιούτων οὐδὲν ἂν εἴποιτε. ἐν δὲ τῷ ἐννάτῳ Φιλιππικῶν φησίν· Ἀλλὰ Θετταλία πῶς ἔχει; οὐχὶ τὰς πόλεις καὶ τὰς πολιτείας αὐτῶν ἀφήρηνται, καὶ τετραδαρχίας κατέστησε παρ' αὐτοῖς, ἵνα μὴ μόνον κατὰ πόλεις, ἀλλὰ καὶ κατὰ ἔθνη δουλεύωσιν;

Εἱλωτεύειν, τὸ δουλεύειν. Ἰσοκράτης Πανηγυρικῷ. Εἵλωτες γὰρ οἱ μὴ γόνῳ δοῦλοι Λακεδαιμονίων,

ἀλλ' οἱ πρῶτοι χειρωθέντες τῶν Ἕλος τὴν πόλιν οἰκούντων, ὡς ἄλλοι τε πολλοὶ μαρτυροῦσι καὶ Ἑλλάνικος ἐν τῇ πρώτῃ.

Εἰσαγγελία, δημοσίας τινὸς δίκης ὄνομά ἐστι.
94 τρία δέ ἐστιν εἴδη εἰσαγγελιῶν. ἡ μὲν γὰρ ἐπὶ δημο-
σίοις ἀδικήμασι μεγίστοις καὶ ἀναβολὴν μὴ ἐπιδεχομένοις καὶ ἐφ' οἷς μήτε ἀρχὴ καθέστηκε μήτε νόμοι κεῖνται τοῖς ἄρχουσι, καθ' οὓς εἰσάξουσιν, ἀλλὰ πρὸς
(56) τὴν βουλὴν, ἢ τὸν δῆμον ἡ πρώτη κατάστασις ἔστω.
καὶ ἐφ' οἷς τῷ μὲν φεύγοντι, ἐὰν ἁλῷ, μέγισται ζημίαι ἐπίκεινται, ὁ δὲ διώκων, ἐὰν μὴ ἕλῃ, οὐδὲν ζημιοῦται, πλὴν ἐὰν τὸ πέμπτον μέρος τῶν ψήφων μὴ μεταλάβῃ, τότε χιλίας ἐκτίνει· τὸ δὲ παλαιὸν καὶ οὗτοι μειζόνως ἐκολάζοντο. ἑτέρα δὲ εἰσαγγελία λέγεται ἐπὶ ταῖς κακώσεσιν· αὗται δέ εἰσι πρὸς τὸν ἄρχοντα, καὶ τῷ διώκοντι ἀζήμιοι, κἂν μὴ μεταλάβῃ τὸ πέμπτον μέρος τῶν ψήφων. ἄλλη δὲ εἰσαγγελία ἐστὶ κατὰ τῶν διαιτητῶν. εἰ γάρ τις ὑπὸ διαιτητῶν ἀδικηθῇ, ἐξῆν τοῦτο εἰσαγγέλλειν πρὸς τοὺς δικαστὰς, καὶ ἁλοὺς ἠτιμοῦτο. Ἰσαῖος μέντοι περὶ τοῦ Ἁγνίου κλήρου αὐτὸ πρᾶγμα εἰσαγγελίαν καὶ γραφὴν ὠνόμασεν.

Εἰς ἐμφανῶν κατάστασιν, ὄνομα δίκης ἐστὶν
95 ὑπὲρ τοῦ τὰ ἀμφισβητήσιμα εἶναι ἐν φανερῷ. Ἰσαῖος
ἐν τῷ περὶ τοῦ Φιλοκτήμονος κλήρου. ὁ δὲ Ἀριστοτέλης ἐν τῇ Ἀθηναίων πολιτείᾳ πρὸς τὸν ἄρχοντά φησι λαγχάνεσθαι ταύτην τὴν δίκην, τὸν δὲ ἀνακρίνοντα εἰσάγειν εἰς τὸ δικαστήριον.

Εἰς ἓν ἦλθεν, ἀντὶ τοῦ ὡμονόησεν.

Εἰσεπόδιζον, ἀντὶ τοῦ εἰσέβαινον τοὺς πόδας τοῦ χωρίου. Ἰσαῖος ἐν τῷ πρὸς Ὀργεῶνας.

Εἰς ἕω, ἀντὶ τοῦ ἀρχομένην ἡμέραν. Ἰσαῖος ἐν τῷ περὶ τοῦ Κίρωνος κλήρου.

Εἰσφρήσειν, εἰσάξειν, εἰσδέξασθαι. Ἀντιφῶν καὶ Δημοσθένης ἐν Φιλιππικῷ. πολὺ δὲ τοὔνομα ἐν τῇ ἀρχαίᾳ κωμῳδίᾳ.

Ἐκαλλίστρουν, Δημοσθένης ἐν τῷ κατ' Εὐέργου καὶ Μνησιβούλου, εἰ γνήσιος. Ἰακὸν δέ ἐστι, καὶ τάχ' ἂν εἴη Δείναρχος. καὶ οὗτος γὰρ ξενικοῖς ὀνόμασι χρῆται.

Ἑκάτης νῆσος, Λυκοῦργος κατὰ Μενεσαίχμου. πρὸ τῆς Δήλου κεῖταί τι νησύδριον, ὅπερ ὑπ' ἐνίων καλεῖται Ψαμμητίχη, ὡς Φανόδημος ἐν πρώτῃ Δηλιακῶν. Ψαμμητίχην δὲ κεκλῆσθαί φησιν ὁ Σημὸς ἐν τῇ (57) πρώτῃ, διὰ τὸ τοῖς ψαμμήτοις τιμᾶσθαι την θεόν. ψάμμητα δ' ἐστὶ ψαιστῶν τις ἰδέα.

Ἑκατομβαιών, ὄνομα μηνός. Ὑπερίδης ὁ τοῦ 96 Ἀμφίονός φησιν, ἀπὸ τοῦ πλείστας τούτῳ τῷ μηνὶ θύεσθαι Ἑκατόμβας κεκλῆσθαι.

Ἑκάτομνος, ὄνομα κύριον.

Ἑκατόμπεδον, Λυκοῦργος ἐν τῷ ἐπιγραφομένῳ ἀπολογισμὸς ὧν πεπολίτευται. ὁ παρθενὼν ὑπό τινων ἑκατόμπεδος ἐκαλεῖτο, διὰ κάλλος καὶ εὐρυθμίαν, οὐ διὰ μέγεθος, ὡς Μενεκλῆς, ἢ Καλλίστρατος, ἐν τῷ περὶ Ἀθηνῶν.

Ἔκδεια. Ὑπερίδης ἐν τῷ κατὰ Πασικλέους· ἐὰν δέ τις ἔκδεια γένηται, ἤγουν ἐὰν δέ τις ἐνδεὴς ᾖ τοῦ προϋπάρχοντος ἀργυρίου.

Ἐκδεξάμενος, Δημοσθένης ὑπὲρ Κτησιφῶντος, ἐκδεξάμενος καὶ γράψας. ἐκδέξασθαί ἐστι τὸ παρ' ἑτέρου λαβόντα αὐτὸν ἐγχειρεῖν τὸ δεύτερον. ἐπισκεπτέον δὲ πῶς ἔχει τὸ ἐν πέμπτῳ Φιλιππικῶν λεχθὲν ὑπὸ τοῦ ῥήτορος· Καὶ τὸ δοκεῖν ἐκδέξασθαι τῶν ἐκείνοις πεπραγμένων.

Ἐκδικάσασθαι, ἀνάδικον ἐκπρᾶξαι διὰ τὸ δικάσασθαι. Ἰσαῖος ἐν τῷ πρὸς Καλλικράτην.

Ἔκδοσις, τὸ ναυτικὸν δάνεισμα, οἱονεὶ ἔξω δόσις. Δημοσθένης κατ' Ἀφόβου. 97

Ἐκκλητεύειν, τὸ εἰς κρίσιν ἄγειν, ἵν' ἐπάναγκές τις μαρτυρῇ. Αἰσχίνης ἐν τῇ περὶ τῆς παραπρεσβείας ἀπολογίᾳ.

ἀντὶ τοῦ διὰ τραπέζης ἀριθμήσαντος, ὡς λέγομεν ἐν τῇ συνηθείᾳ.

81 Διαδόσεις, τὰς ἐκ διαιρέσεως ἴσης ἐπιβαλλούσας δόσεις. Λυσίας.

(48) Διακεχρημένον, ἀντὶ τοῦ κατὰ μέρος δεδανεισμένον. Δημοσθένης κατὰ Ἀφόβου.

Διάστασις. Ἀντιφῶν ἀληθείας δευτέρῳ· περὶ τῆς νῦν κρατούσης διαστάσεως, ἀντὶ τοῦ διακοσμήσεως τῶν ὅλων.

Διάθεσις, ἀντὶ τοῦ πρᾶσις. Ἰσοκράτης Βουσίριδι. ἀντὶ δὲ τοῦ ἀποδεδόμεθα διαθέμεθα εἶπεν Ἀντιφῶν ἐν τῷ πρὸς τὴν Καλλίου ἔνδειξιν· καὶ ἀντὶ τοῦ διοίκησις ὁ αὐτὸς ἐν τῷ περὶ ὁμονοίας, Ἀλλὰ εἰδότες τὴν διάθεσιν ἀκούουσιν. Φρύνιχος Τραγῳδοῖς, τῇ διαθέσει τῶν ἐπῶν φησι. καὶ γὰρ τὸ ῥῆμα διαθέσθαι λέγουσιν ἐπὶ τοῦ διοικῆσαι. Ἀντιφῶν ἀληθείας πρώτῳ· Γυμνωθεῖσα δὲ ἀφορμῆς πολλὰ ἂν καὶ καλὰ κακῶς διαθοῖτο. διαθέσθαι ἀντὶ τοῦ συνθέσθαι Ὑπερίδης κατὰ Δημοσθένους.

Διαιτηταί, Δημοσθένης ἐν τῷ κατὰ Μειδίου. εἰσὶ δὲ οἱ διαιτηταὶ ἕτεροι τῶν δικαστῶν. οὗτοι μὲν γὰρ ἐν δικαστηρίοις ἐδίκαζον ἀποδεδειγμένοις, καὶ τὰς ἀπὸ τῶν διαιτητῶν ἐφεσίμους ἔκρινον· οἱ δὲ διαιτηταὶ κλήρῳ
82 πρότερον λαχόντες, ἢ ἐπιστρεψάντων αὐτοῖς τῶν κρινομένων τοῖς κρινομένοις διῄτων. καὶ εἰ μὲν ἤρεσκε τοῖς ἀντιδίκοις, τέλος εἶχεν ἡ δίκη· εἰ δὲ μή, τὰ ἐγκλήματα καὶ τὰς προκλήσεις καὶ τὰς μαρτυρίας, ἔτι δὲ καὶ τοὺς νόμους καὶ τὰς ἄλλας πίστεις ἑκατέρων ἐμβαλόντες εἰς καδίσκους καὶ σημηνάμενοι παρεδίδοσαν τοῖς εἰσαγωγεῦσι τῶν δικῶν. λέγει δὲ περὶ αὐτῶν Ἀριστοτέλης Ἀθηναίων πολιτείᾳ.

Διαστῆσαι, ἀντὶ τοῦ διαταράξαι καὶ οἷον ἀδύνατον ποιῆσαι. Ἀντιφῶν ἐν τῷ περὶ τῆς Μεταστάσεως. Μένανδρος Χήρᾳ,

βοῶν ποιεῖτο τὴν πόλιν διάστατον.

Διάληξις. διαλαγχάνειν μὲν ἔστι τὸ διαιρεῖσθαι κλήρῳ, διάληξις δὲ τὸ πρᾶγμα. Ἀντιφῶν ἐν τῷ κατὰ (49)
Φιλίνου.

Διὰ μέσου τείχους, Ἀντιφῶν πρὸς Νικοκλέα, τριῶν ὄντων τειχῶν ἐν τῇ Ἀττικῇ, ὡς καὶ Ἀριστοφάνης φησὶν ἐν Τριφάλητι, τοῦ τε Βορείου καὶ τοῦ Νοτίου καὶ τοῦ Φαληρικοῦ, διὰ μέσου τούτων ἐλέγετο τὸ Νότιον, οὗ μνημονεύει καὶ Πλάτων ἐν Γοργίᾳ.

Διαμεμετρημένη ἡμέρα, μέτρον τι ὕδατός ἐστι πρὸς μεμετρημένον ἡμέρας διάστημα ῥέον· ἐμετρεῖτο 83
δὲ τῷ Ποσειδεῶνι μηνί. πρὸς δὴ τοῦτο ἠγωνίζοντο οἱ μέγιστοι καὶ περὶ τῶν μεγίστων ἀγῶνες. διενέμετο δὲ εἰς τρία μέρη τὸ ὕδωρ, τὸ μὲν τῷ διώκοντι, τὸ δὲ τῷ φεύγοντι, τὸ τρίτον τοῖς δικάζουσι. ταῦτα δὲ σαφέστατα αὐτοὶ οἱ ῥήτορες δεδηλώκασιν, ὥσπερ καὶ Αἰσχίνης ἐν τῷ κατὰ Κτησιφῶντος. Ἀριστοτέλης δ' ἐν τῇ Ἀθηναίων πολιτείᾳ διδάσκει περὶ τούτων. σκεπτέον τὸ παρ' Ἰσαίῳ ἐν τῷ κατ' Ἐλπαγόρου καὶ Δημοφάνους, πῶς μεμετρημένης τῆς ἡμέρας, ὁτὲ μέν φασι χωρὶς ὕδατος γίνεσθαι τοὺς ἀγῶνας, ὁτὲ δὲ πρὸς ὕδωρ.

Διάμετρον, τὸ ἐλλεῖπον ἀπὸ τοῦ δικαίως μετρηθέντος. Δείναρχος ἐν τῇ κατὰ Καλλισθένους εἰσαγγελίᾳ.

Διαμαρτυρία καὶ διαμαρτυρεῖν. τρόπος τις ἦν παραγραφῆς ἡ διαμαρτυρία. πρὸ γὰρ τοῦ εἰσαχθῆναι τὴν δίκην εἰς τὸ δικαστήριον ἐξῆν τῷ βουλομένῳ διαμαρτυρῆσαι, ὡς εἰσαγώγιμός ἐστιν ἡ δίκη, ἢ οὐκ εἰσαγώγιμος. διαφέρει δὲ τῆς παραγραφῆς, τῷ τὴν διαμαρτυρίαν γίνεσθαι οὐ μόνον ὑπὸ τῶν φευγόντων, ἀλλὰ καὶ ὑπὸ τῶν διωκόντων. καὶ πρότερόν γε τῷ διώκοντι ἦν προβάλλεσθαί τινα μαρτυροῦντα εἰσαγώ- 84
γιμον εἶναι τὴν δίκην, καὶ περὶ τούτου πρότερον ἐγίνετο ἡ κρίσις πρὸς αὐτὸν τὸν διαμαρτυρήσαντα, οὐ πρὸς τὸν ἐξαρχῆς δικαζόμενον· εἰ δὲ μὴ προὐβάλλετο μάρτυρα ὁ διώκων, τότε ἐξῆν τῷ φεύγοντι προσαγαγεῖν τινα μαρτυροῦντα μὴ εἰσαγώγιμον εἶναι τὴν δίκην, καὶ πάλιν πρὸς τὸν διαμαρτυρήσαντα ὁ ἀγὼν ἐγίνετο. (50)

ἐπεσκήπτοντο δὲ ψευδομαρτυριῶν καὶ ταῖς διαμαρτυρίαις, ὥσπερ καὶ ταῖς μαρτυρίαις. Λυσίας ἐν τῇ πρὸς Ἀριστόδημον διαμαρτυρίᾳ, εἰ γνήσιος ὁ λόγος. Ἰσαῖος δ' ἐν τῷ πρὸς Πύθωνα ἀποστασίου φησὶν ὅτι οὐχ οἷόν τε διαμαρτυρεῖν οὐσίαν. ὁ Ὑπερίδης δ' ἐν τῷ κατ' Ἀρισταγόρας ἀπροστασίου δευτέρῳ φησὶν ὡς οἱ νόμοι κελεύουσι διαμαρτυρεῖν ἐπὶ ταῖς γραφαῖς ταῖς τοῦ ἀποστασίου τὸν βουλόμενον, ὁμοίως τῶν ξένων καὶ τῶν ἐπιχωρίων. μήποτ' οὖν ἐν μὲν ταῖς τοῦ ἀποστασίου δίκαις κεκώλυνται διαμαρτυρεῖν οἱ ξένοι, ἐν δὲ ταῖς τοῦ ἀπροστασίου οὐ κεκώλυνται. Δείναρχος μέντοι διαμαρτυρῆσαι τεθεώρηκεν, οὐκ ἐπὶ τοῦ μαρτυρήσαντος αὐτοῦ,
85 ἀλλ' ἐπὶ τοῦ παρασχόντος τινὰ διαμαρτυρήσαντα, ἐν τῇ διαμαρτυρίᾳ, περὶ τοῦ μὴ ἐπίδικον εἶναι τὴν Ἀριστοφῶντος θυγατέρα. οὗτος δὲ ὁ ῥήτωρ ἐν τῷ κατὰ Ἡδύλης καὶ τὸν τρόπον διαγράφει τῆς διαμαρτυρίας.

Διασκευάσασθαι, ἀντὶ τοῦ σκευάσασθαι. Ἰσαῖος ἐν τῷ πρὸς Καλλικράτην.

Διασείστους, Αἰσχίνης κατὰ Τιμάρχου. ἐοίκασιν ὠνομάσθαι παρὰ τὸ κινεῖσθαι καὶ διασείεσθαι πρότερον, εἶτα βάλλεσθαι, ἵν' ἀκακούργητοι μᾶλλλον ὦσι. Μένανδρος Πωλουμένοις.

Διαχειροτονία, διάκρισις τῆς χειροτονίας ἐν πλήθει γινομένης. Δημοσθένης ἔν τε τῷ κατὰ Τιμοκράτους καὶ κατὰ Ἀνδροτίωνος.

Διαψήφισις ἰδίως λέγεται ἐπὶ τῶν ἐν τοῖς δήμοις ἐξετάσεων, αἳ γίγνονται περὶ ἑκάστου τῶν δημοτευομένων, εἰ τῷ ὄντι πολίτης καὶ δημότης ἐστίν, ἢ παρεγγέγραπται ξένος ὤν. Αἰσχίνης κατὰ Τιμάρχου. ἐντελέστατα δὲ διείλεκται περὶ τῶν διαψηφίσεων, ὡς γεγόνασιν ἐπὶ Ἀρχίου ἄρχοντος, Ἀνδροτίων ἐν τῇ Ἀτθίδι καὶ Φιλόχορος ἐν ἕκτῳ τῆς Ἀτθίδος.

(31) *Διδάσκαλος*. ἰδίως διδασκάλους λέγουσι τοὺς
86 ποιητὰς τῶν διθυράμβων, ἢ τῶν κωμῳδιῶν, ἢ τῶν τραγῳδιῶν. Ἀντιφῶν ἐν τῷ περὶ τοῦ Χορευτοῦ, Ἔλαχόν, φησι, Πεντακλέα διδάσκαλον. ὅτι γὰρ ὁ Πεντα-

κλῆς ποιητὴς, δεδήλωκεν Ἀριστοτέλης ἐν ταῖς Διδασκαλίαις. πολὺ δέ ἐστιν κἀν τῇ ἀρχαίᾳ κωμῳδίᾳ τοὔνομα ἐπὶ τούτου τοῦ σημαινομένου.

Διεγγύησιν, ἀντὶ τοῦ κατάστασιν ἐγγυητῶν. Δημοσθένης κατὰ Τιμοκράτους. ἐν δὲ τῷ κατὰ Νεαίρας, εἰ γνήσιος ὁ λόγος, φησί· διεγγυηθεῖσα ὑπὸ τοῦ Στεφάνου.

Διεκωδώνισε, Δημοσθένης ἐν τῷ περὶ τῆς παραπρεσβείας, ἀντὶ τοῦ διεπείρασε καὶ ἐξέτασεν. ἡ δὲ μεταφορὰ ἤτοι ἀπὸ τῶν περιπολούντων σὺν κώδωσι νυκτὸς τὰς φυλακὰς, Εὐριπίδης Παλαμήδει· ἢ ἀπὸ τῶν δοκιμαζόντων τὰς μαχίμους ὄρτυγας τῷ ἤχῳ τοῦ κώδωνος, ὡς Ἀρίσταρχος.

Δι' ἐνιαυτοῦ, ἀντὶ τοῦ δι' ὅλου τοῦ ἐνιαυτοῦ. Ἀντιφῶν περὶ τοῦ Λινδίων φόρου. Τηλεκλείδης δ' ἐν τῷ Πρυτανείῳ δι' ἡμέρας εἶπεν ἀντὶ τοῦ δι' ὅλης τῆς ἡμέρας.

Διεσπευσάμην, ἀντὶ τοῦ διὰ σπουδῆς ἐποιησάμην, ἢ ἀντὶ τοῦ διεπραξάμην. Ἰσαῖος ἐν τῷ πρὸς Ἕρ- 87
μωνα περὶ ἐγγύης.

Διεσκαριφησάμεθα, ἀντὶ τοῦ διελύσαμεν. σκάριφον γάρ ἐστι τὸ κάρφος καὶ φρύγανον. ἔστι δὲ τὰ τοιαῦτα εὐδιάλυτα καὶ εὐφύσητα. Ἰσοκράτης Ἀρεοπαγιτικῷ, διεσκαριφησάμεθα. σκαριφήσασθαι γάρ ἐστι τὸ ἐπισεσυρμένως τι ποιεῖν καὶ μὴ κατὰ τὴν προσήκουσαν ἀκρίβειαν.

Διετείνοντο. ἰδίως Ἀντιφῶν τοῦτ' ἔταξεν ἐν τῷ περὶ τοῦ Ἡρώδου φόνου, ἀντὶ τοῦ διὰ συντόνου σπουδῆς ἀπηρνήσαντο.

Διήλλαξεν, ἀντὶ τοῦ μετήλλαξεν, ἐτελεύτησε. Λυκοῦργος ἐν τῷ περὶ τῆς Ἱερείας.

Διῆρξα, ἀντὶ τοῦ διὰ τέλους ἦρξα. Λυσίας ἐν τῇ πρὸς τὴν Μιξιδήμου γραφὴν ἀπολογίᾳ.

Διιπόλια. ἑορτή τις ἦν Ἀθήνησι τὰ Διιπόλια. (52)
Ἀντιφῶν ἐν τῷ περὶ τοῦ Χορευτοῦ.

Δικαιογένης. τραγῳδίας οὗτος ποιητὴς καὶ διθυράμβους ἔγραφε.

Δικαιόπολις, Λυσίας ἐν τῷ κατὰ Θρασυβούλου, εἰ γνήσιος. πόλις ἐν τῇ Θρᾴκῃ πλησίον Ἀβδήρων. τυχὸν δὲ καὶ ἑτέρα τίς ἐστι Δικαιόπολις.

88 *Δικαίωσις.* Λυσίας ἐν τῷ περὶ στρατιώτου, εἰ γνήσιος. καὶ μάλα τὰς δικαιώσεις φησὶν ἀντὶ τοῦ δικαιολογίας· ὁ μέντοι Θουκυδίδης πολλάκις τὴν δικαίωσιν ἐπὶ τῆς κολάσεως τάττει.

Δίκη. σημαίνει καὶ ἄλλα τὸ ὄνομα· ἰδίως δὲ λέγεται ἐπὶ τῶν ἰδιωτικῶν ἐγκλημάτων, ὃ σαφὲς ποιεῖ Δημοσθένης ἐν τῷ κατὰ Κόνωνος.

Διοικεῖν, ἀντὶ τοῦ διαιρήσειν, ὥστε μὴ ἐν ταυτῷ πάντας οἰκεῖν, ἀλλὰ χωρὶς καὶ κατὰ μέρος. Δημοσθένης ἐν Φιλιππικοῖς.

Διοπτεύων, Δημοσθένης ἐν τῷ εἰς τὴν Λακρίτου. δίοπος λέγεται νεὼς ὁ διέπων καὶ ἐποπτεύων τὰ κατὰ τὴν ναῦν, ὁ καθ' ἡμᾶς λεγόμενος ἐπίπλους.

Διότιμος, ὄνομα κύριον, ναύαρχος Ἀθηναίων.

Διόφαντος, ὄνομα κύριον.

Διωλύγιον, Ἰσαῖος ἐν τῷ πρὸς Στρατοκλέα. πράγματα διωλύγια, ἀντὶ τοῦ μεγάλα. καὶ Πλάτων.

Διωμοσία, κυρίως ἡ παρὰ τῶν διαδικαζομένων. Δημοσθένης κατ' Ἀριστοκράτους.

Δοκιμασθείς, ἀντὶ τοῦ εἰς ἄνδρας ἐγγραφείς,
89 Δημοσθένης ἐν τῷ κατὰ Ὀνήτορος. λέγεται δὲ καὶ ἐπὶ τῶν ἀρχόντων δοκιμασθῆναι, ὡς ὁ αὐτὸς ῥήτωρ ἐν τῇ πρὸς Εὐβουλίδην ἐφέσει δηλοῖ. ἐλέγετο δὲ καὶ ἐπὶ τῶν πολιτευομένων, κἂν μηδ' ἥντιναοῦν ἀρχὴν ἦρχον· ἐξητάζετο γὰρ αὐτῶν ὁ βίος ἐνίοτε, ὡς Αἰσχίνης ἐν τῷ
(58) κατὰ Τιμάρχου φησί. Λυκοῦργος δ' ἐν τῷ περὶ τῆς διοικήσεως, τρεῖς δοκιμασίαι κατὰ τὸν νόμον, φησί, γίνονται· μία μέν, ἣν οἱ ἐννέα ἄρχοντες δοκιμάζονται· ἑτέρα δέ, ἣν οἱ ῥήτορες· τρίτη δέ, ἣν οἱ στρατηγοί. λέγει μέντοι ἐν τῷ αὐτῷ λόγῳ καὶ ἱππέων δοκιμασίαν.

Δορίσκος, χωρίον τῆς Θράκης. Δημοσθένης ὑπὲρ Κτησιφῶντος. καὶ Ἡρόδοτος.

Δόσις, ἰδίως μὲν λέγεται παρὰ τοῖς ῥήτορσι συμβόλαιον γραφόμενον, ὅταν τις τὰ αὐτοῦ διδῷ τινι διὰ τῶν ἀρχόντων, ὡς παρὰ Δεινάρχῳ.

Δρακοντίδης, εἷς τῶν τριάκοντα. Ὑπερίδης.

Δράκων. οὗτος ἐπιφανέστατος νομοθέτης, ὡς Αἰσχίνης. ἕτερος δ' ἐστὶ Δράκων, οὗ Ἰσοκράτης ἐν τῷ Πανηγυρικῷ μέμνηται.

Δρογγίλον, Θρακικὸν χωρίον. Δημοσθένης Φι- 90
λιππικοῖς.

Δρομοκήρυκες, Αἰσχίνης. οἱ λεγόμενοι ἡμεροδρόμοι.

Δρυμὸς, πόλις μεταξὺ Βοιωτίας καὶ τῆς Ἀττικῆς. Δημοσθένης ἐν τῷ περὶ τῆς παραπρεσβείας. Ἀριστοτέλης δ' ἐν τοῖς Δικαιώμασί φησιν οὕτως· Ἔπειτα Δρυμὸν ἓν Ἀττικὸν καὶ ἕτερον Βοιώτιον.

Δρῦς, Δημοσθένης κατ' Ἀριστοκράτους, πόλις ἐν Ἠπείρῳ. ἔστι δὲ καὶ ἑτέρα ἐν Θράκῃ, ἧς νῦν ὁ ῥήτωρ μνημονεύει. ταύτην Θεόπομπος ἐν εἰκοστῇ πέμπτῃ φησὶν ὑπὸ Ἰφικράτους κατοικισθῆναι.

Δυσάνιος, Ἀντιφῶν, ὁ ἐπὶ παντὶ ἀνιώμενος, κἂν μικρὸν καὶ εὐκαταφρόνητον ᾖ. καὶ Ἱπποκράτης ἐχρήσατό που τῷ ὀνόματι καὶ Μένανδρος.

Δυσαύλης, Δείναρχος ἐν τῇ περὶ τῆς Ἱερείας διαδικασίᾳ, εἰ γνήσιος. Ἀσκληπιάδης δ' ἐν τετάρτῳ τραγῳδουμένων τὸν Δυσαύλην αὐτόχθονα εἶναι φησί, συνοικήσαντα δὲ Βαυβοῖ σχεῖν παῖδας Πρωτονόην τε
καὶ Νίσαν· Παλαίφατος δ' ἐν πρώτῳ Τρωϊκῶν, σὺν 91
τῇ γυναικὶ φησὶν αὐτὸν ὑποδέξασθαι τὴν Δήμητραν. (54)

Δυσωποῦμαι, ἀντὶ τοῦ φοβοῦμαι. Δημοσθένης Φιλιππικοῖς. καὶ Ξενοφῶν ἐν δευτέρῳ ἀπομνημονευμάτων.

Δωριεὺς, ὄνομα παγκρατιαστοῦ.

Δωροξενία, Λυσίας ἐν τῷ κατὰ Νικίου. ἐξηγήσατο τοὔνομα Ὑπερίδης ἐν τῷ κατ' Ἀρισταγόρας οὕτω

γράφων· Ἐπεὶ καὶ ὁ τῆς δωροξενίας νόμος ἁρμόττων ἐστὶ τῷ νῦν ἀγῶνι παραχθῆναι· εἰ γὰρ καὶ τοὺς ἀποφυγόντας ξενίας εἴρηκεν ἐξεῖναι τῷ βουλομένῳ πάλιν γράψασθαι, ἐὰν μὴ δοκῶσι δικαίως τὸ πρῶτον ἀποπεφευγέναι, πῶς οὐ φανερόν ἐστι κατ' Ἀριστογόρας τὸ δίκαιον; καὶ Ἀριστοτέλης δ' ἐν τῇ Ἀθηναίων πολιτείᾳ περὶ τῶν θεσμοθετῶν λέγων γράφει ταυτί· Εἰσὶ δὲ καὶ γραφαὶ πρὸς αὐτοὺς, ὧν παράστασις τίθεται ξενίας καὶ δωροξενίας, ἄν τις δῶρα δοὺς ἀποφύγῃ τὴν συκοφαντίαν.

Δώρων γραφή. ὁπότε τις αἰτίαν ἔχει τῶν πολιτευομένων δῶρα λαβεῖν, τὸ ἔγκλημα τὸ κατ' αὐτοῦ
92 διχῶς ἐλέγετο, δωροδοκία τε καὶ δώρων γραφή. Δείναρχος οὖν λόγον μέν τινα ἐπέγραψε κατὰ Πολυεύκτου δωροδοκίας, ἐν δὲ τῷ κατὰ Πυθέου ξενίας πολλάκις ὀνομάζει τὴν τῶν δώρων γραφήν. ἰστέον ὅτι, ἐάν τις γραψάμενος μὴ μεταλάβῃ τὸ πέμπτον μέρος τῶν ψήφων, ὀφλισκάνει χιλίας, καὶ πρόσεστιν ἀτιμία τις. Λυσίας ἐν τῷ κατὰ τῶν ῥητόρων νόμου διείλεκται περὶ τούτων καὶ Θεόφραστος ἐν τοῖς περὶ τῶν νόμων.

Ε.

Ἑβδομευομένου, Λυσίας ἐν τῷ πρὸς Ἐτεοκλέα περὶ χρημάτων, εἰ γνήσιος. τοῖς ἀποτεχθεῖσι παιδίοις τὰς ἑβδομάδας καὶ τὰς δεκάτας ἦγον, καὶ τά γε ὀνόματα ἐτίθεντο αὐτοῖς οἱ μὲν τῇ ἑβδόμῃ, ὡς καὶ ὁ ῥήτωρ λέγει, οἱ δὲ τῇ δεκάτῃ. Ἀριστοτέλης δ' ἐν ἐννάτῃ(55) περὶ ζώων ἱστορίας γράφει ταυτί· Τὰ πλεῖστα δὲ ἀναιρεῖται πρὸ τῆς ἑβδόμης. διὸ καὶ τὰ ὀνόματα τότε τίθενται, ὡς πιστεύοντες ἤδη τῇ σωτηρίᾳ.

Ἐγγυθήκη. φέρεταί τις λόγος ὡς Λυσίου, ἐπι- 93
γραφόμενος περὶ τῆς ἐγγυθήκης. εἴη δ' ἂν σκεῦός τι πρὸς τὸ κρατῆρας, ἢ λέβητας, ἤ τι τοιούτων οὐκ ἀλλότριον ἐπικεῖσθαι ἐπιτήδειον εἶναι· ὡς Καλλίξενός τε ἐν τετάρτῃ περὶ Ἀλεξανδρείας ὑποσημαίνει καὶ Δαΐμαχος ὁ Πλαταιεὺς ἐν δευτέρῳ περὶ Ἰνδικῆς.

Ἑδωλιᾶσαι, Λυκοῦργος ἐν τῷ ἐπιγραφομένῳ ἀπολογισμὸς ὧν πεπολίτευται, ἐπὶ τοῦ καθέξεσθαι· καὶ ἑδωλίαι αἱ ἐν ταῖς ναυσὶ καθέδραι. Ἡρόδοτος πρώτῳ.

Ἔθνος, οὐ μόνον τὸ μέγα καὶ πολυάνθρωπον γένος, ἀλλὰ καὶ ἰδίως μέρος τι τῆς πόλεως. Δημοσθένης ἐν τῷ κατ' Ἀριστοκράτους· Εἴ τις ὑμᾶς ἔροιτο, τί πονηρότατον νομίζεται τῶν ἐν τῇ πόλει πάντων ἐθνῶν, οὔτε τοὺς γεωργούς, οὔτε τοὺς ἐμπόρους, οὔτε τοὺς ἐκ τῶν ἀργυρείων, οὔτε τῶν τοιούτων οὐδὲν ἂν εἴποιτε. ἐν δὲ τῷ ἐννάτῳ Φιλιππικῶν φησίν· Ἀλλὰ Θετταλία πῶς ἔχει; οὐχὶ τὰς πόλεις καὶ τὰς πολιτείας αὐτῶν ἀφῄρηνται, καὶ τετραδαρχίας κατέστησε παρ' αὐτοῖς, ἵνα μὴ μόνον κατὰ πόλεις, ἀλλὰ καὶ κατὰ ἔθνη δουλεύωσιν;

Εἱλωτεύειν, τὸ δουλεύειν. Ἰσοκράτης Πανηγυρικῷ. Εἵλωτες γὰρ οἱ μὴ γόνῳ δοῦλοι Λακεδαιμονίων,

ἀλλ' οἱ πρῶτοι χειρωθέντες τῶν Ἕλος τὴν πόλιν οἰκούντων, ὡς ἄλλοι τε πολλοὶ μαρτυροῦσι καὶ Ἑλλάνικος ἐν τῇ πρώτῃ.

Εἰσαγγελία, δημοσίας τινὸς δίκης ὄνομά ἐστι.
94 τρία δέ ἐστιν εἴδη εἰσαγγελιῶν. ἡ μὲν γὰρ ἐπὶ δημοσίοις ἀδικήμασι μεγίστοις καὶ ἀναβολὴν μὴ ἐπιδεχομένοις καὶ ἐφ' οἷς μήτε ἀρχὴ καθέστηκε μήτε νόμοι κεῖνται τοῖς ἄρχουσι, καθ' οὓς εἰσάξουσιν, ἀλλὰ πρὸς
(56) τὴν βουλὴν, ἢ τὸν δῆμον ἡ πρώτη κατάστασις ἔστω. καὶ ἐφ' οἷς τῷ μὲν φεύγοντι, ἐὰν ἁλῷ, μέγισται ζημίαι ἐπίκεινται, ὁ δὲ διώκων, ἐὰν μὴ ἕλῃ, οὐδὲν ζημιοῦται, πλὴν ἐὰν τὸ πέμπτον μέρος τῶν ψήφων μὴ μεταλάβῃ, τότε χιλίας ἐκτίνει· τὸ δὲ παλαιὸν καὶ οὗτοι μειζόνως ἐκολάζοντο. ἑτέρα δὲ εἰσαγγελία λέγεται ἐπὶ ταῖς κακώσεσιν· αὗται δέ εἰσι πρὸς τὸν ἄρχοντα, καὶ τῷ διώκοντι ἀζήμιοι, κἂν μὴ μεταλάβῃ τὸ πέμπτον μέρος τῶν ψήφων. ἄλλη δὲ εἰσαγγελία ἐστὶ κατὰ τῶν διαιτητῶν. εἰ γάρ τις ὑπὸ διαιτητῶν ἀδικηθῇ, ἐξῆν τοῦτο εἰσαγγέλλειν πρὸς τοὺς δικαστὰς, καὶ ἁλοὺς ἠτιμοῦτο. Ἰσαῖος μέντοι περὶ τοῦ Ἁγνίου κλήρου αὐτὸ πρᾶγμα εἰσαγγελίαν καὶ γραφὴν ὠνόμασεν.

Εἰς ἐμφανῶν κατάστασιν, ὄνομα δίκης ἐστὶν
95 ὑπὲρ τοῦ τὰ ἀμφισβητήσιμα εἶναι ἐν φανερῷ. Ἰσαῖος ἐν τῷ περὶ τοῦ Φιλοκτήμονος κλήρου. ὁ δὲ Ἀριστοτέλης ἐν τῇ Ἀθηναίων πολιτείᾳ πρὸς τὸν ἄρχοντά φησι λαγχάνεσθαι ταύτην τὴν δίκην, τὸν δὲ ἀνακρίνοντα εἰσάγειν εἰς τὸ δικαστήριον.

Εἰς ἓν ἦλθεν, ἀντὶ τοῦ ὡμονόησεν.

Εἰσεπόδιζον, ἀντὶ τοῦ εἰσέβαινον τοὺς πόδας τοῦ χωρίου. Ἰσαῖος ἐν τῷ πρὸς Ὀργεῶνας.

Εἰς ἕω, ἀντὶ τοῦ ἀρχομένην ἡμέραν. Ἰσαῖος ἐν τῷ περὶ τοῦ Κίρωνος κλήρου.

Εἰσφρήσειν, εἰσάξειν, εἰσδέξασθαι. Ἀντιφῶν καὶ Δημοσθένης ἐν Φιλιππικῷ. πολὺ δὲ τοὔνομα ἐν τῇ ἀρχαίᾳ κωμῳδίᾳ.

Ἐκαλίστρουν, Δημοσθένης ἐν τῷ κατ' Εὐέργου καὶ Μνησιβούλου, εἰ γνήσιος. Ἰακὸν δέ ἐστι, καὶ τάχ' ἂν εἴη Δείναρχος. καὶ οὗτος γὰρ ξενικοῖς ὀνόμασι χρῆται.

Ἑκάτης νῆσος, Λυκοῦργος κατὰ Μενεσαίχμου. πρὸ τῆς Δήλου κεῖταί τι νησύδριον, ὅπερ ὑπ' ἐνίων καλεῖται Ψαμμητίχη, ὡς Φανόδημος ἐν πρώτῃ Δηλιακῶν. Ψαμμητίχην δὲ κεκλῆσθαί φησιν ὁ Σημὸς ἐν τῇ(57) πρώτῃ, διὰ τὸ τοῖς ψαμμήτοις τιμᾶσθαι την θεόν. ψάμμητα δ' ἐστὶ ψαιστῶν τις ἰδέα.

Ἑκατομβαιών, ὄνομα μηνός. Ὑπερίδης ὁ τοῦ 96 Ἀμφίονός φησιν, ἀπὸ τοῦ πλείστας τούτῳ τῷ μηνὶ θύεσθαι Ἑκατόμβας κεκλῆσθαι.

Ἑκάτομνος, ὄνομα κύριον.

Ἑκατόμπεδον, Λυκοῦργος ἐν τῷ ἐπιγραφομένῳ ἀπολογισμὸς ὧν πεπολίτευται. ὁ παρθενὼν ὑπό τινων ἑκατόμπεδος ἐκαλεῖτο, διὰ κάλλος καὶ εὐρυθμίαν, οὐ διὰ μέγεθος, ὡς Μενεκλῆς, ἢ Καλλίστρατος, ἐν τῷ περὶ Ἀθηνῶν.

Ἔκδεια. Ὑπερίδης ἐν τῷ κατὰ Πασικλέους· ἐὰν δέ τις ἔκδεια γένηται, ἤγουν ἐὰν δέ τις ἐνδεὴς ᾖ τοῦ προϋπάρχοντος ἀργυρίου.

Ἐκδεξάμενος, Δημοσθένης ὑπὲρ Κτησιφῶντος, ἐκδεξάμενος καὶ γράψας. ἐκδέξασθαί ἐστι τὸ παρ' ἑτέρου λαβόντα αὐτὸν ἐγχειρεῖν τὸ δεύτερον. ἐπισκεπτέον δὲ πῶς ἔχει τὸ ἐν πέμπτῳ Φιλιππικῶν λεχθὲν ὑπὸ τοῦ ῥήτορος· Καὶ τὸ δοκεῖν ἐκδέξασθαι τῶν ἐκείνοις πεπραγμένων.

Ἐκδικάσασθαι, ἀνάδικον ἐκπρᾶξαι διὰ τὸ δικάσασθαι. Ἰσαῖος ἐν τῷ πρὸς Καλλικράτην.

Ἔκδοσις, τὸ ναυτικὸν δάνεισμα, οἱονεὶ ἔξω δόσις. Δημοσθένης κατ' Ἀφόβου. 97

Ἐκκλητεύειν, τὸ εἰς κρίσιν ἄγειν, ἵν' ἐπάναγκές τις μαρτυρῇ. Αἰσχίνης ἐν τῇ περὶ τῆς παραπρεσβείας ἀπολογίᾳ.

Ἐκλογεῖς, οἱ ἐκλέγοντες καὶ εἰσπράττοντες τὰ ὀφειλόμενα τῷ δημοσίῳ. Ἀντιφῶν ἐν τῷ περὶ τοῦ Σαμοθρᾳκῶν φόρου· Ἡιρέθησαν γὰρ ἐκλογεῖς παρ' ἡμῖν, οἷς πλεῖστα ἐδόκει χρήματα εἶναι. Λυσίας ἐν τῷ πρὸς Ἀρέσανδρον· Νῦν δὲ πρὸς τοὺς ἐκλογέας τοῦ φόρου ἅπαντα ἀπογραφόμεθα.

(58) Ἐκλώζετε, Δημοσθένης κατὰ Μειδίου. κλωσμὸν ἔλεγον τὸν γιγνόμενον ἐν τοῖς στόμασι ψόφον, ᾧ πρὸς τὰς ἐκβολὰς ἐχρῶντο τῶν ἀκροαμάτων ὧν οὐχ ἡδέως ἠκροῶντο.

Ἐκμαρτυρία διαφέρει τῆς μαρτυρίας, ὅτι ἡ μὲν μαρτυρία τῶν παρόντων ἐστίν, ἡ δ' ἐκμαρτυρία τῶν ἀπόντων. σαφέστατα δὲ περὶ τούτων διδάσκουσι Δημοσθένης τε ἐν τῷ κατὰ Στεφάνου καὶ Δείναρχος ἐν τῷ ὑπὲρ Αἰσχίνου κατὰ Δεινίου.

Ἐκ περιουσίας. Δημοσθένης ὑπὲρ Κτησιφῶντος· οὗτος δ' ἐκ περιουσίας μου κατηγορεῖ. βέλτιον
98 οὕτως ἀκούειν, ὅτι ἐγὼ μὲν περὶ τῶν ἐσχάτων κινδυνεύω, οὗτος δ' ἐκ πολλοῦ τοῦ περιόντος μου κατηγορεῖ, οὐ περὶ χρημάτων, ὡς οἴονταί τινες.

Ἐκπλινθεύσας, ἀντὶ τοῦ διαλύσας καὶ ἐξελὼν τὰς πλίνθους. Ἰσαῖος ἐν τῷ κατὰ Διοκλέους.

Ἐκπολεμῶσαι, Δημοσθένης Φιλιππικοῖς, ἀντὶ τοῦ εἰς πόλεμον καταστῆσαι, ὡς καὶ παρὰ Θουκυδίδῃ πολλάκις· ἐν μέντοι τοῖς Ἀττικοῖς διὰ τοῦ η̄ γράφεται, ὡς καὶ παρὰ Ξενοφῶντι ἐν ἕκτῃ Ἑλληνικῶν.

Ἐκ προαγωγῆς, ἀντὶ τοῦ πρὸς ἀνάγκην καὶ οὐκ ἐκ φύσεως οὐδ' ἁπλοϊκῶς· ἡ μεταφορὰ ἀπὸ τῶν οὐχ ἡμένων, ἀλλ' ἐκ προβολῶν προηναγκασμένων δεσμοῖς. Δημοσθένης κατ' Ἀριστοκράτους.

Ἐκφυλλοφορῆσαι. εἰ ἐδόκει τις τῶν βουλευτῶν ἀδικεῖν, διεψηφίζετο ἡ βουλὴ περὶ αὐτοῦ, εἰ χρὴ αὐτὸν μηκέτι βουλεύειν· ἀντὶ δὲ ψήφων φύλλοις ἐχρῶντο, δι' ὧν ἕκαστος ἐπεσημήνατο τὴν αὑτοῦ γνώμην. Δείναρχος ἐν τῷ κατὰ Πολυεύκτου ἐκφυλλοφορηθέντος.

Ἐλαιοῦς, πόλις ἐν Χεῤῥονήσῳ τῇ Θρᾳκίᾳ.

Ἐλάτεια, Δημοσθένης ἐν τῷ ὑπὲρ Κτησιφῶντος. 99
πόλις δὲ ἦν μεγίστη τῶν ἐν Φωκεῦσι. τοῦ δὲ ῥήτορος πάλιν ἐν ἑβδόμῳ Φιλιππικῶν, εἰ γνήσιος, τάδε· ἐν Κασ- (59)
σωπείᾳ τρεῖς πόλεις, Πανδοσίαν καὶ Βούχεταν καὶ Ἐλάτειαν. ῥητέον ὅτι βέλτιον ἐν ἐνίοις γέγραπται διὰ τοῦ ρ̄ Ἐλάτρεια. Θεόπομπος γοῦν ἐν τεσσαρακοστῇ τρίτῃ τέτταρας πόλεις φησὶν εἶναι τῶν Κασσωπέων, ἀλλ' οὐ τρεῖς, ὥσπερ ὁ Δημοσθένης, Ἐλάτρειάν τε καὶ Πανδοσίαν καὶ Βιτίαν, καὶ Βούχεταν.

Ἐλαφροτάτους, ἐν ἐπαίνῳ λέγουσι τοὔνομα οἱ παλαιοί, ἀντὶ τοῦ πρᾳοτάτους, κατὰ τὸ ἐναντίον τοῦ βαρυτάτους καὶ φορτικωτάτους. Ἰσοκράτης Παναθηναϊκῷ, Σφᾶς δ' αὐτοὺς ὡς δυνατὸν ἐλαφροτάτους καὶ μετριωτάτους τοῖς συνοῦσι παρέχοντας.

Ἐλεοκόπων, Λυσίας ἐν τῷ δεκάτῳ κατὰ Δημοσθένους ἐπιτροπῆς· Πέντε μησὶ μετὰ τῶν ἐλεοκόπων διαιτώμενος. ἐλεοκόπους λέγοι ἂν ὁ ῥήτωρ τοὺς τὰ ἕλη κόπτοντας, τοῦ ε̄ παρεμβεβλημένου. ὡς τὸ, ἐλεόθρεπτόν τε σέλινον παρ' Ὁμήρῳ. μήποτε δὲ παρὰ τὸ ἐλεὸν, ὅπερ ἐστιν ἐκτὸς ξύλινον, γεγένηται τοὔνομα. 100
Ἀριστοφάνης Ἱππεῦσιν·

εἰ τροσκαθέλοι με τοὐλεόν.

Ἐλευθέριος Ζεύς. Ὑπερίδης· τῷ μὲν τοίνυν Διί, ὦ ἄνδρες δικασταί, ἡ ἐπωνυμία γέγονε τοῦ ἐλευθέριον προσαγορεύεσθαι, διὰ τὸ τοὺς ἐξελευθέρους τὴν στοὰν οἰκοδομῆσαι τὴν πλησίον αὐτοῦ. ὁ δὲ Δίδυμός φησιν ἁμαρτάνειν τὸν ῥήτορα. ἐκλήθη γὰρ ἐλευθέριος διὰ τὸ τῶν Μηδικῶν ἀπαλλαγῆναι τοὺς Ἀθηναίους. ὅτι δὲ ἐπιγέγραπται μὲν σωτὴρ, ὀνομάζεται δὲ καὶ ἐλευθέριος, δηλοῖ καὶ Μένανδρος.

Ἐλευσίνια, Ὑπερίδης ἐν τῷ ὑπὲρ Καλλίππου. τοῖς νικῶσι τὰ Ἐλευσίνια ἐδίδοτο ἆθλον. ὠνομάσθη δὲ ἡ πόλις Ἐλευσὶς ἀπὸ Ἐλευσίνου τοῦ Ἑρμοῦ.

Ἑλικτῆρες, ἐνωτίων εἶδος. Λυσίας. (60)

Ἔλιξος, εἷς τῶν ἐπιφανῶν ἀνδρῶν παρὰ Μεγαρεῦσιν.

Ἑλλανοδίκαι, Ὑπερίδης ἐν τῷ ὑπὲρ Καλλίππου
πρὸς Ἠλείους. Ἀριστοτέλης ἐν Ἠλείων πολιτείᾳ τὸ
101 μὲν πρῶτόν φησιν ἕνα καταστῆσαι τοὺς Ἠλείους Ἑλλα-
νοδίκην, χρόνου δὲ διελθόντος δύο, τὸ δὲ τελευταῖον
ἐννέα. Ἀριστόδημος δ' ὁ Ἠλεῖός φησι τοὺς τελευταίους
τιθέντας τὸν ἀγῶνα Ἑλλανοδίκας εἶναι δέκα, ἀφ' ἑκά-
στης φυλῆς ἕνα.

Ἑλληνοταμίαι, Ἀνδοκίδης ἐν τῷ περὶ τῆς εἰρήνης, εἰ γνήσιος... ὅτι ἀρχή τις ἦν οἱ Ἑλληνοταμίαι, οἳ διεχείριζον τὰ χρήματα, καὶ Ἀριστοτέλης δηλοῖ ἐν τῇ Ἀθηναίων πολιτείᾳ. μνημονεύει δὲ καὶ Θουκυδίδης αὐτῶν ἐν πρώτῃ.

Ἐμβεβλημένα, ἀντὶ τοῦ ἐγκεκεντρισμένα. Δημοσθένης ἐν τῷ πρὸς Νικόστρατον. καὶ Ἀριστοτέλης δ' ἐμβολάδας ἀπίους λέγει τὰς τοιαύτας.

Ἔμβιος. Ἀντιφῶν ἀληθείας πρώτῃ· Καὶ ἡ γῆ σηπέδων τοῦ ξύλου ἔμβιος γένοιτο. ἀντὶ τοῦ ἐν τῷ ζῆν, τουτέστι, ζήσειε καὶ μὴ ξηρανθείη μηδ' ἀποθάνοι.

Ἔμμηνοι δίκαι, αἵ τε ἐμπορικαὶ καὶ ἐρανικαί. Δημοσθένης καὶ Ὑπερίδης.

Ἐμποδών. Ἀντιφῶν ἐν τῷ περὶ τῆς μεταστά-
102 σεως· τοὺς ἐμποδὼν ἐκολάσατε, ἀντὶ τοῦ ἐμπεσόντας,
καθὰ καὶ Ἀνδοκίδης ἐν τῷ κατ' Ἀλκιβιάδου.

Ἔμπουσα. Δημοσθένης ὑπὲρ Κτησιφῶντος. φάσμα τί φασιν εἶναι τῆς Ἑκάτης, ὅπερ στοιχοῦσιν ἐφαίνετο. πλήρης δὲ τοῦ ὀνόματος ἡ κωμῳδία.

Ἕναι ἀρχαί, αἱ παρῳχημέναι. Δημοσθένης κατ' Ἀριστογείτονος.

Ἐν βραχεῖ, ἀντὶ τοῦ ἁπλῶς καὶ ἐν κεφαλαίῳ. Ἀντιφῶν.

(61) Ἔνδειξις, εἶδος δίκης δημοσίας, ὑφ' ἣν τοὺς ἐκ
τῶν νόμων εἰργομένους τινῶν ἢ τόπων, ἢ πράξεων, εἰ
μὴ ἀπέχοιντο αὐτῶν, ὑπῆγον. πολλοὶ μὲν οὖν εἰσὶ λόγοι

ἐνδείξεως, γνωριμώτατοι δὲ οἱ κατ' Ἀριστογείτονος Δημοσθένους.

Ἐνδεκάζοντας, ἀντὶ τοῦ ἐνεορτάζοντας, ἐν τῷ αὐτῷ τὴν δεκάτην ἄγοντας. Δημοσθένης ἐν τῷ κατὰ Θεοκρίνου.

Ἐν Διομείοις Ἡράκλειον, Ὑπερίδης κατὰ Κόνωνος. τῆς ἐν Διομείοις ἀγομένης ἑορτῆς τῷ Ἡρακλεῖ μνημονεύουσι καὶ οἱ κωμικοί.

Ἐνεπίσκημμα καὶ ἐνεπισκήψασθαι, Δημοσθένης ἐν τῷ κατὰ Τιμοθέου. ὁπότε δημευθείη τινὸς 103 οὐσία, ἐξῆν προσελθεῖν τῷ φάσκοντι δανειστῇ γεγονέναι τούτου τοῦ ἀνδρὸς, καὶ λέγειν ὅτι ἐνοφείλεται αὐτῷ χρέος ἐν τῇ οὐσίᾳ. ἔστι δὲ καὶ λόγος τις ἐπιγραφόμενος, Δημοσθένης πρὸς Κριτίαν περὶ τοῦ ἐνεπισκήμματος, ὃν Καλλίμαχος μὲν ἀναγράφει ὡς γνήσιον, Διονύσιος δὲ ὁ Ἁλικαρνασεὺς ὡς ψευδεπίγραφον.

Ἐνεσκευασμένην, Ἰσαῖος ἐν τῷ πρὸς Ἀριστογείτονα καὶ Ἄρχιππον, ἀντὶ τοῦ ἐσκευασμένην καὶ πεπλασμένην. Δημοσθένης ἐν τῷ πρὸς Σπουδίαν.

Ἐνετιμᾶτο. τὸ ἀπετιμᾶτο διαφέρει τοῦ ἐνετιμᾶτο. ὅταν μὲν γὰρ πρός τι ποσὸν ἀργύριον ἀποτίμημα λαμβάνῃ τις, ἀποτιμᾶσθαι λέγεται· ὅταν δὲ ἐν εἴδεσί τισι λογίσηταί τις μέρος τι τοῦ ἀργυρίου, τοῦτο λέγεται ὡς ἐνετιμήσατο.

Ἕνη καὶ νέα, Ὑπερίδης ἐν τῷ πρὸς Ὑγιαίνοντα. τὴν ὑφ' ἡμῶν τριακάδα καλουμένην ἕνην καὶ νέαν καλοῦσιν Ἀθηναῖοι, ἀπὸ τοῦ τὴν τελευτὴν ἔχειν τοῦ προτέρου μηνὸς καὶ τὴν ἀρχὴν τοῦ ὑστέρου. Πολέμων 104 δέ φησιν ὅτι ἐκάλεσάν ποτε αὐτὴν Δημητριάδα, ἐπὶ τιμῇ Δημητρίου τοῦ Μακεδόνος. ἕνην δὲ καὶ εἰς ἕνην τὸ εἰς τρίτην λέγουσι. καὶ ἁπλῶς τὸ ἕνον δασυνόμενον τὸ πρότερον καὶ παρεληλυθὸς δηλοῖ.

Ἔνθρυπτα, Δημοσθένης ἐν τῷ ὑπὲρ Κτησιφῶν- (62) τος. Δίδυμος ὁ γραμματικὸς ἐν τῷ ὑπομνήματι τοῦ λόγου εἰπὼν ὡς τὰ ἔνθρυπτα ἐκκείμενον καὶ γνώριμον

ἀπ' αὐτῆς ἔχει τῆς φωνῆς τὸ σημαινόμενον, περιεργότερόν τινα ἐκτίθεται ἐξήγησιν ἀμάρτυρον· εἰσὶ δὲ ἔνθρυπτα τὰ ἐκ πεμμάτων, ἢ τὰ ἐνθρυβόμενα βρώματα. ἔνιοι δὲ ταῖς τελεταῖς αὐτὰ προσοικειοῦσι. καὶ Ἀπόλλων δὲ παρ' Ἀθηναίοις ἔνθρυπτος.

Ἐν Λίμναις Διόνυσον, Ἰσαῖος περὶ τοῦ Κίρωνος κλήρου. τόπος ἐστὶν ἐν Ἀθήναις Λίμναι, ἐν ᾧ ὁ τιμώμενος Διόνυσος.

Ἐννεάκρουνον, Λυσίας ἐν τῷ περὶ τῆς ἀντιδόσεως. κρήνη τις ἐν Ἀθήναις· πρότερον δ' ἐκαλεῖτο Καλλιρόη.

Ἐννέα ὁδοί, Αἰσχίνης ἐν τῇ περὶ τῆς παραπρεσβείας ἀπολογίᾳ. τόπος ἐν Θράκῃ περὶ τὴν Ἀμφίπολιν.

105 Ἐν παραβύστῳ, ἀντὶ τοῦ κρύφα καὶ οὐ φανερῶς. Ὑπερίδης ἐν τῷ κατ' Ἀρχεστρατίδου.

Ἐνσημαινόμενος, ἀντὶ τοῦ ἐνδεικνύμενος καὶ ἐμφαίνων. Ἰσοκράτης.

Ἐν Φρεαττοῖ. Δημοσθένης ἐν τῷ κατ' Ἀριστοκράτους περὶ τοῦ ἐν Φρεαττοῖ δικαστηρίου ἀκριβῶς διεξελήλυθε, λέγων οὕτως· Ἔτι τοίνυν πέμπτον δικαστήριον ἄλλο θεάσασθε, οἷον ὑπερβέβηκε τὸ ἐν Φρεαττοῖ. ἐνταῦθα γάρ, ὦ ἄνδρες Ἀθηναῖοι, κελεύει δίκας ὑπέχειν ὁ νόμος, ἐάν τις ἐπ' ἀκουσίῳ φόνῳ πεφευγώς, μήπω τῶν ἐκβαλλόντων αὐτὸν ᾐδεσμένων, αἰτίαν ἔχῃ ἑτέρου φόνου ἑκουσίου. καὶ μετ' ὀλίγον φησίν· Ἤγαγε τοὺς δικάζοντας ἐκεῖσε, οἷ προσελθεῖν οἷόν τε ἦν ἐκείνῳ, τῆς χώρας ἀποδείξας τόπον τινά, ἐν Φρεαττοῖ καλούμενον ἐπιθαλάττιον, εἶθ' ὁ μὲν ἐν πλοίῳ προσπλεύσας, λέγει τῆς γῆς οὐχ ἁπτόμενος, οἱ δ' ἀκροῶνται καὶ δικάζουσιν ἐπὶ τῆς γῆς. κἂν μὲν ἁλῷ, τὴν ἐπὶ τοῖς ἑκου-
(63) σίοις φόνοις δίκην ἔδωκε, δικαίως· ἐὰν δὲ ἀποφύγῃ, ταύτης μὲν ἀθῷος ἀφίεται, τὴν δὲ ἐπὶ τῷ προτέρῳ φόνῳ φυγὴν ὑπέχει. ὠνομάσθαι δ' ἔοικε τὸ δικαστή-
106 ριον ἀπό τινος Φρεάτου ἥρωος, καθά φησι Θεόφραστος ἐν τῷ ἕκτῳ καὶ δεκάτῳ τῶν νόμων.

Ἐξάγιστος, ἀντὶ τοῦ λίαν ἐναγὴς καὶ ἔμπλεως ἄγους. Αἰσχίνης ἐν τῷ κατὰ Κτησιφῶντος ἐπί τινος λιμένος εἴρηκε τοὔνομα.

Ἐξαιρέσεως δίκη. ὁπότε τις ἄγοι τινὰ ὡς δοῦλον, ἔπειτά τις αὐτὸν ὡς ἐλεύθερον ἐξαίροιτο, ἐξῆν τῷ ἀντιποιουμένῳ τοῦ ἀνθρώπου ὡς δούλου λαγχάνειν ἐξαιρέσεως δίκην τῷ εἰς τὴν ἐλευθερίαν αὐτὸν ἐξαιρουμένῳ. Ἰσαῖος ἐν τῇ ὑπὲρ Εὐμαθοῦς εἰς ἐλευθερίαν ἀφαιρέσει.

Ἐξαράσασθαι. Αἰσχίνης κατὰ Κτησιφῶντος· ὅτι τὰς χρυσᾶς ἀσπίδας ἀνέθηκε πρὸς τὸν καινὸν νεών. ἐξαράσασθαί ἐστι τὸ ἐκτελέσαι τὰς ἀράς, τουτέστι τὰς εὐχὰς ἐπὶ ταῖς ἱδρύσεσι τῶν ναῶν, αἳ εἰώθασι ποιεῖσθαι.

Ἐξεγγύησις, τὸ ἐξελέσθαι τινὰ δι' ἐγγυητῶν καταστάσεως. Δημοσθένης ἐν τῷ κατ' Ἀριστοκράτους.

Ἐξένιζε. Δημοσθένης ἐν τῇ πρὸς Εὐβουλίδην ἐφέσει· Διαβεβλήκασι γάρ μου τὸν πατέρα, ὡς ἐξένιζε. μήποτε ἀντὶ τοῦ ξένος ἦν, καὶ οὐχ ὡς Δίδυμός φη- 107
σιν, ἀντὶ τοῦ οὐκ Ἀττικῶς διελέγετο, ἀλλὰ ξενικῶς.

Ἐξεπρέμνιζον, ἀντὶ τοῦ κατέβαλλον τὰ πρέμνα, τουτέστι, μέχρι ῥιζῶν τὰ στελέχη. Δημοσθένης ἐν τῷ περὶ Ἁγνίου κλήρου.

Ἐξετάζεσθαι, ἀντὶ τοῦ ὁρᾶσθαι, Δημοσθένης κατὰ Στεφάνου. καὶ ἐν τῷ κατ' Ἀνδροτίωνος ἐξητάσθης φησὶν ἀντὶ τοῦ ὤφθης, ὡράθης.

Ἐξηγητής, Ἰσαῖος ἐν τῷ περὶ τοῦ Κίρωνος κλήρου. ὁ ἐξηγούμενος τὰ ἱερά. ἔστι δὲ καὶ ἃ πρὸς τοὺς κατοιχομένους νομιζόμενα ἐξηγοῦντο τοῖς δεομένοις. καὶ Δημοσθένης ἐν τῷ κατ' Εὐέργου καὶ Μνησιβούλου (64)
δηλοῖ, πληθυντικῶς τοὺς ἐξηγητὰς πολλάκις ὀνομάζων.

Ἐξήκεστος, ὄνομα κύριον. Δημοσθένης κατ' Ἀριστοκράτους.

Ἐξορχησάμενος, ἀντὶ τοῦ φυγὼν καὶ ἀποδράς. Δημοσθένης ἐν τῷ κατ' Ἀνδροτίωνος προσπαίζων ἅμα εἶπε διὰ τὴν τῶν Διονυσίων πομπήν.

Ἐξούλης, ὄνομα δίκης, ἣν ἐπάγουσιν οἱ φάσκοντες ἐξείργεσθαι τῶν ἰδίων κατὰ τῶν ἐξειργόντων. εἴρηται μὲν οὖν τοὔνομα ἀπὸ τοῦ ἐξέλλειν, ὅ ἐστιν
108 ἐξωθεῖν καὶ ἐκβάλλειν. δικάζονται δὲ ἐξούλης κἀπὶ τοῖς ἐπιτιμίοις οἱ μὴ ἀπολαμβάνοντες ἐν τῇ προσηκούσῃ προθεσμίᾳ, ὑπερημέρων γιγνομένων τῶν δικασθέντων. οἱ δὲ ἁλόντες ἐξούλης καὶ τῷ ἑλόντι ἐδίδοσαν ἃ ἀφῃροῦντο αὐτοῦ καὶ τῷ δημοσίῳ κατετίθεσαν τὰ τιμηθέντα. ταῦτα δὲ σαφῶς Ἰσαῖος διδάσκει καὶ Λυσίας ἐν τῷ κατὰ Στρατοκλέους ἐξούλης. Δείναρχος μέντοι ἐν τῇ Κροκωνιδῶν διαδικασίᾳ ἰδίως κέχρηται τῷ τῆς ἐξούλης ὀνόματι ἐπὶ τῆς ἱερείας τῆς μὴ βουλομένης τὰ ἴδια δρᾶν. ὅτι δὲ ἐπὶ παντὸς τοῦ ἐκ τῶν ἰδίων ἐκβαλλομένου τάττεται τοὔνομα, καὶ οὐχ ὡς οἴεται Καικίλιος μόνος τῶν ἐκ καταδίκης ὀφειλόντων, καὶ Φρύνιχος ἐν Ποαστρίαις δῆλον ποιεῖ.

Ἐξωμοσία. τὸ μεθ' ὅρκου πρᾶξίν τινα ἀπαρνήσασθαι διὰ νόσον ἤ τινα ἑτέραν πρόφασιν ἐξωμόσασθαί ἐστιν, ὡς δῆλον ποιεῖ Δημοσθένης ἐν τῷ περὶ τῆς παραπρεσβείας.

Ἐπαγγελία σημαίνει καὶ ἄλλα, ἰδίως δὲ λέγεται ἐπὶ τῶν ἐγκαλούντων τινὶ δημηγορεῖν καὶ πολιτεύεσθαι
109 οὐκ ἐξόν. καὶ ἔστιν οἷον παραγγελία. Αἰσχίνης κατὰ Τιμάρχου. λέγεται παρ' αὐτοῖς τὸ ἐπαγγέλλεσθαι καὶ ἀντὶ τοῦ προστάττειν ἢ αἰτεῖσθαι, ὥς παρά τε Ἀντιφῶντι ἐν τῷ περὶ τοῦ Λινδίων φόρου καὶ Δημοσθένει ἐν τῷ περὶ τῆς παραπρεσβείας.

(65) Ἐπακτὸς ὅρκος, ὃν αὐτός τις ἑκὼν αὑτῷ ἐπάγεται, τουτέστιν αἱρεῖται. Λυσίας ἐν τῷ πρὸς Χαιρέστρατον καὶ Ἰσοκράτης Ἀπολλωνιάτης ἐν ταῖς πρὸς Δημόνικον Παραινέσεσιν. ἔστι δὲ ὅρκου τρία εἴδη, ἐπώμοτος καὶ κατώμοτος καὶ ὁ καλούμενος ἐπακτός. εἶναι δὲ τοῦτον οὐχ ἁπλοῦν. δεῖ γὰρ τῶν προτεινομένων ὑπὸ τοῦ ὁρκίζοντος αὐτοῖς ὀνόμασιν ἀντιφωνεῖν τὸν ὁρκιζόμενον.

Ἐπακτροκέλης, Αἰσχίνης ἐν τῷ κατὰ Τιμάρχου. εἶδος δέ ἐστι πλοίου σύνθετον ἔχον τὴν κατα-

σκευὴν, ἔκ τε ἐπακτρίδος καὶ κέλητος. ἦν δὲ ὡς ἐπῖπαν ληστρικὸν, ὡς καὶ Δείναρχος ἐν τῇ κατὰ Πολυεύκτου δοκιμασίᾳ.

Ἐπαλλάξεις, ἀντὶ τοῦ συναλλαγὰς, ἢ μίξεις. Ἀντιφῶν ἀληθείας πρώτῃ.

Ἐπαναφορὰ, τὸ ἀναφέρειν καὶ ἀνακοινοῦσθαι 110 τῷ πλήθει.

Ἐπαιρόμενος, ἀντὶ τοῦ ἐπανατεινόμενος, Δημοσθένης ἐν τῷ ὑπὲρ Κτησιφῶντος· ἐν δὲ τῷ ἑτέρῳ ἐπ' ἄλλου σημαινομένου φησὶν, Ἢ κέρδεσιν δι' ἀπορίαν ἐπαιρομένους. Ἀριστοφάνης ἐν Νεφέλαις,

εἶθ' ὤφελ' ἡ προμνήστρι' ἀπολέσθαι κακῶς,
ἥτις με 'γῆμ' ἐπῆρε τὴν σὴν μητέρα.

Ἐπεδίκασε καὶ ἐπεδικάσαντο, Δημοσθένης ἐν τῷ κατὰ Ὀλυμπιοδώρου. τὸ μὲν ἐπεδίκασέν ἐστιν οἷον προέκρινε, τὸ δὲ ἐπεδικάσαντο οἷον ἔπεισαν τοὺς δικαστὰς ἑαυτοῖς προσνεῖμαι τὸν κλῆρον.

Ἐπενεγκεῖν δόρυ ἐπὶ τῆς ἐκφορᾶς, καὶ προαγορεύειν ἐπὶ τῷ μνήματι. Δημοσθένης κατ' Εὐέργου καὶ Μνησιβούλου ταῦτά φησιν ἐπὶ τοῦ βιαίως ἀποθανόντος. Ἴστρος δ' ἐν τῇ συναγωγῇ τῶν Ἀτθίδων περὶ Προκρίδος καὶ Κεφάλου εἰπὼν γράφει ταυτί· τινὲς δὲ ἐπὶ τοῦ τάφου δόρυ καταπεπηγότα τὸν Ἐρεχθέα φασὶ, πεποιῆσθαι δὲ παρακαταθέμενόν τε καὶ τὸ πάθος σημαί- (66) νοντα, διὰ τὸ νόμιμον εἶναι τοῖς προσήκουσι τοῦτον 111 τὸν τρόπον μετέρχεσθαι τοὺς φονέας.

Ἐπεσκήψατο, ἀντὶ τοῦ ἐνεκάλεσε ψευδομαρτυριῶν. λέγεται δὲ ἐνίοτε κατὰ τὸ σπάνιον καὶ ἐπὶ τοῦ ἐγκαλέσαι φόνου, ὡς Ἀντιφῶν ἐν τῷ περὶ τῆς μεταστάσεως. τῷ δὲ ἐνεργητικῷ τῷ ἐπέσκηψεν ἀντὶ τοῦ ἐνετείλατο Ἰσαῖος ἐν τῇ ὑπὲρ Εὐμαθοῦς εἰς ἐλευθερίαν ἀφαιρέσει. τὸ δὲ ἐπισκήπτω ἀντὶ τοῦ μετά τινος ἐπιθειασμοῦ λέγω, οἷον ἐξορκίζω, Ἀνδοκίδης τε ἐν τῷ περὶ τῶν Μυστηρίων καὶ Λυσίας ἐν τῷ ὑπὲρ Κτησιάρχου εἰρήκασιν.

Ἐπιβάτης, Δημοσθένης ἐν τῷ περὶ τοῦ ἐπιτριηραρχήματος. οὕτως ἐκάλουν τῶν ἐν ταῖς τριήρεσι στρατευομένων τοὺς μὴ κωπηλατοῦντας, ἀλλὰ μόνον πρὸς τὸ μάχεσθαι ἐπιτηδείους. Ἀριστοφάνης Βαβυλωνίοις,

εὖ γε ἐξεκολύμβησεν ἐπιβάτης, ὡς ἐξοίσων ἐπίγυνον.

Ἐπιβλῆτας, Λυσίας ἐν τῷ κατὰ Νικίου φόνου, εἰ γνήσιος. ἐπιβλής ἐστιν, ὡς μὲν Τιμαχίδας φησὶ, δοκός· ὡς δέ φησι Κλείταρχος ὁ γλωσσογράφος, ποιά τις δοκός.

Ἐπίβοιον, Λυκοῦργος ἐν τῷ περὶ τῆς Ἱερείας.
112 Φιλόχορος ἐν δευτέρῳ φησὶν οὕτως· Ἐὰν δέ τις τῇ Ἀθηνᾷ θύῃ βοῦν, ἀναγκαῖόν ἐστι καὶ τῇ Πανδρόσῳ θύειν ὄϊν μετὰ βοός. καὶ ἐκαλεῖτο τὸ θῦμα ἐπίβοιον. ὁμοίως καὶ Στάφυλος ἐν πρώτῃ τῶν περὶ Ἀθηνῶν.

Ἐπιβολὴ, ἡ ζημία. πολὺ τοὔνομα παρὰ τοῖς ῥήτορσιν, ὡς καὶ παρὰ Λυσίᾳ ἐν τῷ κατὰ Νικομαχίδου, εἰ γνήσιος ὁ λόγος.

Ἐπιγνώμονας, ἀντὶ τοῦ ἐπισκόπους. Λυσίας ἐν τῷ περὶ τοῦ Σηκοῦ.

Ἐπιγραφεῖς, οἱ τὰ δημόσια ἐπιγράφοντες. ὁπότε δεήσειεν ἀργύριον εἰσφέρειν εἰς τὸ δημόσιον τοὺς ἀστοὺς ἢ τοὺς μετοίκους, οἱ ταῦτα διαγράφοντες ἐπιγραφεῖς
(67) ἐκαλοῦντο, ἐπιγραφέας ἤτοι τοὺς καθεστηκότας ἐπὶ τῷ γράφειν ἑκάστῳ, ὅσον εἰσφέρειν ὀφείλουσιν εἰς τὸ δημόσιον· καὶ ἐπιγραφομένῳ, τῷ βεβαιοῦντι, καὶ τῷ οἰκείῳ ποιουμένῳ. Λυσίας ἐν τῷ περὶ τῆς εἰσφορᾶς.

Ἐπίγυνον, Λυσίας ἐν τῷ πρὸς Ἀνδοκίδην ἀποστασίου, εἰ γνήσιος. τὰ πρυμνήσια ἐπίγυα ἔλεγον. κέχρηνται τῷ ὀνόματι καὶ οἱ τῆς ἀρχαίας κωμῳδίας ποιηταί, Ἀριστοφάνης Ὁλκάσιν.

113 Ἐπιδέκατον, τὸ δέκατον. Ἰσαῖος ἐν τῷ κατ' Ἐλπαγόρου. καὶ ἐπίπεμπτον εἰώθασι λέγειν τὸ πέμπτον, ὡς καὶ Εὔπολις Αὐτολύκῳ.

Ἐπὶ Δελφινίῳ. δικαστήριόν ἐστιν οὕτω καλούμενον Ἀθήνῃσι. δικάζονται δὲ ἐνταῦθα οἱ ὁμολογοῦν-

τες μὲν ἀπεκτονέναι, δικαίως δὲ πεποιηκέναι τοῦτο λέγοντες, ὡς Δημοσθένης ἐν τῷ κατ' Ἀριστοκράτους δηλοῖ καὶ Ἀριστοτέλης ἐν τῇ Ἀθηναίων πολιτείᾳ.

Ἐπιδιατίθεσθαι, Λυσίας ἐν τῷ πρὸς Θεοπείθη ἐπιτροπῆς ἐπιλόγῳ. ἐπιδιατίθεσθαί ἐστι τὸ συνθήκας τινὰς ποιεῖσθαι κατατιθεμένους τὶ ῥητὸν ἀργύριον παρά τινι τῶν μεταξὺ γενομένων, ὅσπερ ἐγγυᾶται ἑκατέρῳ, ὥστε εἰ ἡ πρᾶξις γένοιτο, θατέρῳ πάντως τὸ ὡμολογημένον ἀργύριον ἀποδοῦναι. τὸ δὲ πρᾶγμα αὐτὸ λέγεται ἐπιδιαθήκη, ὡς ὁ αὐτὸς ῥήτωρ ἐν τῷ ὑπὲρ Νησοκλέους δηλοῖ.

Ἐπὶ Δηλίῳ μάχῃ, Λυκοῦργος ἐν τῷ κατὰ Λυσικλέους. Δήλιον χωρίον ἐστὶ τῆς Βοιωτίας. ἐνταῦθα Ἀθηναῖοι μαχόμενοι ἐνικήθησαν ὑπὸ Βοιωτῶν, καθά φησι Θουκυδίδης ἐν πρώτῃ.

Ἐπιδιετὲς ἡβῆσαι. Δημοσθένης ἐν τῷ κατὰ Στεφάνου. Δίδυμός φησιν ἀντὶ τοῦ, ἐὰν ἑκκαίδεκα 114 ἐτῶν γένωνται. τὸ γὰρ ἡβῆσαι μέχρι τεσσαρεσκαίδεκά ἐστιν. ἄλλοι, ἔφηβοι παρ' Ἀθηναίοις ὀκτωκαιδεκαετεῖς γίνονται, καὶ μένουσιν ἐν τοῖς ἐφήβοις ἔτη δύο, ἔπειτα τῷ ληξιαρχικῷ ἐγγράφονται γραμματείῳ, καθά φησιν (68) Ὑπερίδης ἐν τῷ πρὸς Χάρητα ἐπιτροπικῷ· Ἐπειδὴ δὲ ἐνεγράφην ἐγὼ, καὶ ὁ νόμος ἀποδέδωκε τὴν κομιδὴν τῶν καταλειφθέντων τῇ μητρὶ, ὃς κελεύει κυρίους εἶναι τῆς ἐπικλήρου καὶ τῆς οὐσίας ἁπάσης τοὺς παῖδας, ἐπειδὰν ἐπιδιετὲς ἡβῶσιν.

Ἐπίδικος, καὶ ἐπίκληρος, καὶ ἐπίπροικος, καὶ ἐπικληρῖτις. ἐπίκληρος μέν ἐστιν ἡ ἐπὶ παντὶ τῷ κλήρῳ ὀρφανὴ καταλελειμμένη, μὴ ὄντος αὐτῇ ἀδελφοῦ· ἡ δὲ αὐτὴ καὶ ἐπικληρῖτις. ἐπίπροικος δὲ ἡ ἐπὶ μέρει τινὶ τοῦ κλήρου, ὥστε προῖκα ἔχειν, ἀδελφῶν αὐτῇ ὄντων. ἐπίδικος δὲ ἡ ἀμφισβητουμένη ἐπίκληρος ὅτῳ χρὴ αὐτὴν γαμηθῆναι. ταῦτα δὲ δηλοῦσιν Ἰσαῖος ἐν τῷ πρὸς Σάτυρον ὑπὲρ ἐπικλήρου καὶ Δείναρχος ἐν τῷ ἐπιγραφομένῳ Διαμαρτυρία περὶ τοῦ μὴ ἐπίδικον εἶναι τὴν Ἀριστοφῶντος θυγατέρα· ἐν δὲ τούτῳ τῷ λόγῳ 115

δείκνυται καὶ ὅτι τὰς ἀπορουμένας κόρας ἐξεδίδοσαν οἱ ἄγχιστα γένους, πέντε μνᾶς ἐπιδιδόντες. ὁ δὲ Ἰσαῖος ἐν τῷ πρὸς Λυσίβιον τὴν ἐπίκληρον ἐπικληρῖτιν κέκληκεν.

Ἐπὶ Θρασύλλῳ, Δημοσθένης ἐν τῇ πρὸς Πανταίνετον παραγραφῇ φησι, Τὸ ἐπὶ Θρασύλλῳ. Ἀττικὸν ἔθος ἀντὶ τοῦ ἐπὶ τῷ Θρασύλλου μνήματι.

Ἐπιθέτους ἑορτάς, Ἰσοκράτης Ἀρεοπαγιτικῷ. τὰς μὴ πατρίους, ἄλλως δὲ ἐπιψηφισθείσας, ἐπιθέτους ἐκάλουν. ἐλέγετο δὲ παρ' αὐτοῖς καὶ ἐπίθετά τινα, ὁπόσα μὴ πάτρια ὄντα ἡ ἐξ Ἀρείου Πάγου βουλὴ ἐδίκαζεν, ὡς σαφὲς ποιεῖ Λυσίας ἐν τῇ πρὸς τὴν Μιξιδήμου γραφὴν ἀπολογίᾳ. ἐπιθέτους δὲ ἐπιστολὰς Λυσίας ἐν τῷ κατὰ Θρασυβούλου τινὰς ὀνομάζει, λέγοι δ' ἂν τὰς δοθείσας τισὶν ὥστε διακομίσαι. λέγειν γὰρ ἦν εἰθισμένον, ἐπέθηκεν ἐπιστολήν, ἀντὶ τοῦ παρέδωκεν, ὡς
116 *Δημοσθένης ἐν τῷ ὑπὲρ Χρυσίππου πρὸς τὴν Φορμίωνος παραγραφήν. Κρατῖνος ἐν Τροφωνίῳ.*

(69) *Ἐπικεκηρυχέναι, Δημοσθένης ἐν τῷ περὶ τῆς παραπρεσβείας. ὁπότε βούλοιτο πόλις, ἢ ἀρχὼν ἀναιρεθῆναί τινα τῶν μὴ ὄντων ὑφ' ἑαυτοῖς, ἐκήρυττε δώσειν χρήματα, εἴ τις αὐτὸν ἀνέλοι, τόσα καὶ τόσα, καθάπερ Ξέρξῃ ἐπεκήρυξαν οἱ Ἕλληνες, εἴ τις ἢ ζῶντα ἢ νεκρὸν καταγάγοι Ἀθήναζε, δώσειν ἑκατὸν τάλαντα.*

Ἐπικηρυκεία, τὸ περὶ φιλίας καὶ διαλλαγῶν κήρυκας πέμπειν. Δημοσθένης Φιλιππικῶν πέμπτῳ.

Ἐπὶ κόῤῥης, Δημοσθένης ἐν τῷ κατὰ Μειδίου. ἄλλοι μὲν ἄλλως ἀπέδοσαν, βέλτιον δὲ ὑπολαμβάνειν ἐπὶ κόῤῥης λέγεσθαι τὸ ἐπὶ τῆς γνάθου, ὃ λέγομεν ἐν τῷ βίῳ ῥάπισμα. Ὑπερίδης οὖν, ἢ Φιλῖνος, ἐν τῷ κατὰ Δωροθέου, προειπὼν ῥαπίσαντα τὸν Ἱππόνικον ἐπὶ κόῤῥης γραφῆναι ὕβρεως, ἐν τοῖς ἑξῆς ὥσπερ ἐξηγεῖται τοὔνομα λέγων, Ἔπειτα Ἱππόνικος ὑπ' Αὐτοκλέους μό-
117 *νον ἐῤῥαπίσθη τὴν γνάθον, ἐγὼ δὲ ὑπὸ τούτων τῶν τριχῶν εἱλκόμην, κονδύλους ἔλαβον.*

Ἐπικράτης, Ἰσαῖος ἐν τῷ περὶ τῶν ἐν Μακεδονίᾳ ῥηθέντων. οὗτός ἐστιν ὁ τῶν Ἀθηναίων δημαγω-

γὸς ὁ Σακεσφόρος ἐπικαλούμενος, οὗ μνημονεύει καὶ Δημοσθένης ἐν τῷ περὶ τῆς παραπρεσβείας. ἕτερος δ' ἐστὶν Ἐπικράτης οὗ μνημονεύει Λυκοῦργος ἐν τῷ περὶ διοικήσεως, λέγων· ὡς χαλκοῦς ἐστάθη διὰ τὸν νόμον τὸν περὶ τῶν ἐφήβων, ὅν φασι κεκτῆσθαι ταλάντων ἑξακοσίων οὐσίαν. ἄλλος δ' ἐστὶν Ἐπικράτης, Αἰσχίνου τοῦ ῥήτορος κηδεστής, ὡς δηλοῦται ὑπ' αὐτοῦ ἐν τῇ περὶ τῆς παραπρεσβείας ἀπολογίᾳ. οὗτος μέντοι ἐπώνυμον εἶχε Κυρηβίων, ὡς ὁ Δημοσθένης φησὶν ἐν τῷ κατ' Αἰσχίνου.

Ἐπιλαχών, Αἰσχίνης κατὰ Κτησιφῶντος· Οὔτε λαχὼν οὔτ' ἐπιλαχών, ἀλλ' ἐκ παρασκευῆς πριάμενος. ἔοικε τὸ γιγνόμενον τοιοῦτον εἶναι· ἐκληροῦντο οἱ βουλεύειν ἢ ἄρχειν ἐφιέμενοι, ἔπειτα ἑκάστῳ τῶν λαχόντων ἕτερος ἐπελάγχανεν, ἵν' ἐὰν ὁ πρῶτος λαχὼν ἀποδοκι-(70) μασθῇ, ἢ τελευτήσῃ, ἀντ' ἐκείνου γένηται βουλευτὴς 118 ἢ ἄρχων ὁ ἐπιλαχὼν αὐτῷ. ὑποφαίνεται δὲ ταῦτα ἐν τῷ Πλάτωνος Ὑπερβόλῳ.

Ἐπιμελητὴς τῶν μυστηρίων, παρ' Ἀθηναίοις ὁ λεγόμενος βασιλεύς. Δημοσθένης κατὰ Μειδίου. Ἀριστοτέλης ἐν Ἀθηναίων πολιτείᾳ φησὶν οὕτως· Ὁ δὲ βασιλεὺς πρῶτον μὲν τῶν μυστηρίων ἐπιμελεῖται μετὰ τῶν ἐπιμελητῶν, οὓς ὁ δῆμος ἐχειροτόνει. τέσσαρες ἦσαν, δύο μὲν ἐξ Ἀθηναίων ἁπάντων, εἷς δὲ ἐξ Εὐμολπιδῶν, καὶ εἷς ἐκ Κηρύκων.

Ἐπιμελητὴς ἐμπορίου, Δείναρχος ἐν τῷ κατὰ Πυθέου. Ἀριστοτέλης· Ἐμπορίου δ' ἐπιμελητὰς δέκα κληροῦσιν, τούτοις δὲ προστέτακται τῶν τε ἐμπορίων ἐπιμελεῖσθαι καὶ τοῦ σίτου τοῦ καταπλέοντος εἰς τὸ Ἀττικὸν ἐμπόριον τὰ δύο μέρη τοὺς ἐμπόρους ἀναγκάζειν εἰς τὸ ἄστυ κομίζειν.

Ἐπιμήνια, Λυκοῦργος ἐν τῷ περὶ τῆς Ἱερείας. ἔοικεν εἶναι ἐπιμήνια ἤτοι τὰ καθ' ἕκαστον μῆνα θυόμενα, ἢ τὰ ὑπὲρ ὅλου μηνὸς ἅπαξ ποτὲ γιγνόμενα θύματα.

Ἐπιορκήσαντα. Λυσίας κατὰ Θεομνήστου ἐξη- 119 γήσατο ὅτι τὸ ἐπιορκήσαντα ὀμόσαντά ἐστιν.

Ἐπὶ Παλλαδίῳ. Δημοσθένης ἐν τῷ κατ' Ἀριστοκράτους. δικαστήριόν ἐστιν οὕτω καλούμενον, ὡς καὶ Ἀριστοτέλης ἐν Ἀθηναίων πολιτείᾳ, ἐν ᾧ δικάζουσιν ἀκουσίου φόνου καὶ βουλεύσεως οἱ ἐφέται. ἔσχε δὲ τὸ δικαστήριον τὴν τοῦ Παλλαδίου ἐπωνυμίαν καὶ οἱ δικασταὶ τὴν τῶν ἐφετῶν ἐντεῦθεν· Ἀγαμέμνονος μετὰ τῶν Ἀργείων σὺν τῷ Παλλαδίῳ προσενεχθέντος Ἀθήναις ἐξ Ἰλίου, Δημοφῶν ἁρπάζει τὸ Παλλάδιον καὶ πολλοὺς τῶν διωκόντων ἀναιρεῖ· Ἀγαμέμνων δὲ δυσχεράνας δίκην τὸν ἁρπάσαντα ἀπαιτεῖ, καὶ συνίσταται τὸ κριτήριον ἐπὶ πεντήκοντα μὲν Ἀθηναίων, πεντήκοντα
(71) δὲ Ἀργείων, οὓς ἐφέτας ἐκάλεσαν παρὰ τὸ παρ' ἀμφοτέρων ἐφεθῆναι αὐτοῖς τὰ τῆς κρίσεως.

Ἐπίπεμπτον. Λυσίας ἐν τῷ πρὸς Κριτόδημον, καὶ Πλάτων, ἀντὶ τοῦ ἁπλοῦ τοῦ πέμπτου. Ἀριστοφάνης Δαιταλεῦσιν,

εἰ μὴ μεταλάβῃ τοὐπίπεμπτον, κλαέτω.

Ἔπιπλον, Ἰσαῖος ἐν τῷ πρὸς Διοκλέα. τὰ κατὰ
120 τὴν οἰκίαν σκεύη ἔπιπλα λέγουσι, τὴν οἷον ἐπιπόλαιον κτῆσιν καὶ μετακομίζεσθαι δυναμένην. Σοφοκλῆς Ἀκάμαντι.

Ἐπὶ πρυτανείῳ. δικαστήριόν ἐστι καὶ τοῦτο φονικόν. δικάζει δὲ ἄν τι τῶν ἀψύχων ἐμπεσὸν ἀποκτείνῃ τινὰ, τοῦτο δέ ἐστιν ἐὰν λίθος, ἢ ξύλον, ἢ σίδηρος, ἤ τι τοιοῦτον, καὶ τὸν μὲν βαλόντα ἀγνοῇ, αὐτὸ δὲ εἰδῇ καὶ ἔχῃ τὸ τὸν φόνον εἰργασμένον.

Ἐπισημαίνεσθαι, ἀντὶ τοῦ ἐπαινεῖν καὶ, ὡς ἐν τῇ συνηθείᾳ λέγομεν, ἐπιφωνεῖν. Ἰσοκράτης Παναθηναϊκῷ. ἀντὶ δὲ τοῦ ἐπισφραγίσαι Ἰσαῖος ἐν τῇ ἐξούλης Καλυδῶνι πρὸς Ἁγνόθεον ἀπολογίᾳ.

Ἐπισίτια, τὰ εἰς τροφὴν καὶ εἰς τὸ σιτεῖσθαι διδόμενα. Λυσίας ἐν τῷ κατὰ Δημοσθένους ἐπιτροπῆς. ταῦτα δὲ ἐνίοτε ἐκάλουν καὶ σιτίον.

Ἐπίσκοπος, Ἀντιφῶν ἐν τῷ περὶ τοῦ Λινδίων φόρου, καὶ ἐν τῷ κατὰ Λαισποδίου. οἱ παρ' Ἀθη-

ναίων εἰς τὰς ὑπηκόους πόλεις ἐπισκέψασθαι τὰ παρ' ἑκάστοις πεμπόμενοι ἐπίσκοποι καὶ φύλακες ἐκαλοῦντο, οὓς οἱ Λάκωνες ἁρμοστὰς ἔλεγον. Θεόφραστος γοῦν 121 ἐν πρώτῳ τῶν πολιτικῶν τῶν πρὸς καιροὺς φησὶν οὕτω· Πολλῷ γὰρ κάλλιον κατά γε τὴν τοῦ ὀνόματος θέσιν, ὡς οἱ Λάκωνες ἁρμοστὰς φάσκοντες εἰς τὰς πόλεις πέμπειν, οὐκ ἐπισκόπους οὐδὲ φύλακας, ὡς Ἀθηναῖοι.

Ἐπιστάτης, Ἰσαῖος ἐν τῷ κατ' Ἐλπαγόρου καὶ (72) Δημοφάνους. δύο εἰσὶν οἱ καθιστάμενοι ἐπιστάται, ὁ μὲν ἐκ πρυτανέων κληρούμενος, ὁ δὲ ἐκ τῶν προέδρων, ὧν ἑκάτερος τίνα διοίκησιν διοικεῖ, δεδήλωκεν ὁ Ἀριστοτέλης ἐν τῇ Ἀθηναίων πολιτείᾳ. ἐλέγετο δ' ἐν τοῖς κοινοῖς καὶ ὁ ἐφεστηκὼς πράγματι ὁτῳοῦν, ὡς Ὑπερίδης τε ἐν τῷ κατὰ Δημοσθένους καὶ Αἰσχίνης ἐν τῷ κατὰ Κτησιφῶντος φανερὸν ποιοῦσιν.

Ἐπίσταθμος. Ἰσοκράτης Πανηγυρικῷ. Ἑκατόμνος ὁ Καρίας ἐπίσταθμος, ὃς οὐδὲν ἕτερον ἦν, ἢ κατὰ σατραπείαν Καρίας κύριος ὑπῆρχεν.

Ἐπιτελεοῦν καὶ ἐπιτελέωμα. ἀμφότερα πολλάκις ἐστὶ τὰ ὀνόματα ἐν τῷ περὶ τῆς Ἱερείας Λυκούργου. ἔοικε δὲ ἐπιτελέωμα λέγεσθαι τὸ ἐπὶ πᾶσι θυόμε- 122 νον, ὑπὲρ τοῦ ἐπιτελεῖς γενέσθαι τὰς πρότερον θυσίας. αὐτὸς γοῦν ὁ ῥήτωρ ἐν τῷ λόγῳ φησίν, ἔτι τοίνυν ἔφη πάντων ὕστατα ταῦτα θύεσθαι, καὶ ἐπιτελεώματα εἶναι τῶν ἄλλων θυμάτων.

Ἐπιτιμητάς. οἱ μὲν τὸ πρῶτον τιμώμενοί τι τιμηταὶ ἐκαλοῦντο, οἱ δὲ τοῖς ἑξῆς ἔτεσι τὰ αὐτὰ τιμώμενοι ἐπιτιμηταί. Λυσίας ἐν τῷ κατὰ Διογένους.

Ἐπιτείχισμα, τὸ τειχιζόμενον κατά τινων χωρίον, ὅθεν ὁρμώμενοι οἱ τειχίσαντες κακῶς δυνήσονται ποιεῖν τοὺς ἐπιτειχισθέντας. Δημοσθένης ἐν τῷ ὑπὲρ Κτησιφῶντος. καὶ τὸ πρᾶγμα δὲ ἐπιτειχισμὸν ὀνομάζουσιν, ὥσπερ ἐν ταυτῷ τῷ λόγῳ ἐστίν.

Ἐπιτροπή, παρατροπή. ὁ δὲ Λεύκιος ἐπιχειριζόμενος διαπέμπεσθαι πρὸς τοὺς Δαπατηνοὺς καὶ λαλεῖν

ὑπὲρ ἐπιτροπῆς, ἀπαράσκευος ἦν εἰς τὸ μέλλον. καὶ Δημοσθένης ἐν τῷ κατὰ Ἀφόβου πρώτῳ οὕτως ἤρξατο· Εἰ μὲν ἐβούλετο Ἄφοβος, ὦ ἄνδρες δικασταί, δίκαια ποιεῖν περὶ ὧν διαφερόμεθα, τοῖς τε οἰκείοις ἐπιτρέπειν.
123 ἀντὶ τοῦ διαιτητὰς αὐτοὺς αἱρεῖσθαι. ὅθεν καὶ Μενάν-
(78) δρου δρᾶμα Ἐπιτρέποντες. Λυσίας δ' ἐν τῷ πρὸς τοὺς ἐπιτρόπους τῶν Βοῶνος παίδων, ἐπέτρεψεν, εἶπεν, ἀνδράσιν, ἀντὶ τοῦ ἐπιτρόπους κατέστησεν.

Ἐπιτρίταις, Ἰσαῖος ἐν τῷ κατὰ Καλλιφῶντος· ἑξακοσίαις δραχμαῖς ἐπιτρίταις· ἀντὶ τοῦ ἐπὶ ὀκτὼ ὀβολοῖς, κατὰ τὸ τρίτον εἶναι μέρος τοὺς ὀκτὼ ὀβολοὺς τοῦ τετραδράχμου.

Ἐπιχάρης, Δημοσθένης ἐν τῷ ὑπὲρ Κτησιφῶντος. ὄνομα κύριον, Σικυώνιος προδότης.

Ἐπιχειροτονία, ἡ τῶν χειροτονητῶν κατάστασις. Ὑπερίδης ἐν τῷ ὑπὲρ Σιμμίου πρὸς Πυθέαν καὶ Λυκοῦργον.

Ἐπιψηφίζων, ἀντὶ τοῦ ἐπικυρῶν. Δημοσθένης ἐν τῷ κατ' Ἀνδροτίωνος. πολὺ δέ ἐστι παρὰ τοῖς Ἀττικοῖς τοὔνομα ἐπὶ τούτου τοῦ σημαινομένου, ὡς καὶ παρὰ Ξενοφῶντι ἐν πρώτῃ ἀπομνημονευμάτων.

Ἐπόγδοον, Δημοσθένης ἐν τῷ πρὸς Πολυκλέα περὶ τοῦ ἐπιτριηραρχήματος. εἴη δ' ἂν ἐπόγδοον τὸ οὕτω δεδανεισμένον, ὥστε τοῦ κεφαλαίου τὸ ὄγδοον μέρος δοθῆναι τῷ δανειστῇ. οἷον τριώβολον τοῦ τετραδράχμου.

124 Ἐπωβελίαι, Δημοσθένης ἐν τῷ κατὰ Στεφάνου. ἐπιτίμιόν ἐστιν ἡ ἐπωβελία τὸ ἕκτον μέρος τοῦ τιμήματος, ὃ ἐπράττοντο οἱ γραψάμενοί τινας καὶ μὴ ἑλόντες αὐτοῖς τοῖς γραφεῖσιν. ἐκαλεῖτο δὲ οὕτως, ὅτι καθ' ἑκάστην δραχμὴν ὀβολὸς ἦν, ὅπερ ἕκτόν ἐστιν, ἐν ἓξ ὀβολοῖς τῆς δραχμῆς λογιζομένης. ἐκ πολλῶν δέ ἐστι τοῦτο οὕτως ἔχον μαθεῖν.

Ἐπωνία τέλος ἐστὶ τὸ ἐπὶ τῇ ὠνῇ διδόμενον· εἴη δ' ἂν ἴσως ἡ πέμπτη. Ἰσαῖος ἐν τῷ κατ' Ἐλπαγόρου καὶ Δημοφάνους, κἀν τῇ πρὸς Τληπόλεμον ἀντωμοσίᾳ.

Ἐπώνυμοι, Δημοσθένης ἐν τῷ κατὰ Τιμοκράτους. διττοί εἰσιν οἱ ἐπώνυμοι, οἱ μὲν δέκα τὸν ἀριθμὸν, ἀφ' ὧν αἱ φυλαὶ, ἕτεροι δὲ δύο καὶ τεσσαράκοντα, ἀφ' ὧν αἱ ἡλικίαι προσαγορεύονται τῶν πολι- (74) τῶν καθ' ἕκαστον ἔτος, ἀπὸ ὀκτωκαίδεκα ἐτῶν μέχρις ἑξήκοντα.

Ἐποπτευκότων, Ὑπερίδης ἐν τῷ ὑπὲρ Φρύνης. οἱ μυηθέντες ἐν Ἐλευσῖνι ἐν τῇ δευτέρᾳ μυήσει ἐποπτεύειν λέγονται, ὡς δῆλόν ἐστιν ἔκ τε τοῦ Δημοσθένους λόγου καὶ ἐκ τῆς δεκάτης Φιλοχόρου.

Ἐρανίζοντες. Δημοσθένης ἐν τῇ περὶ τῶν 125 Λυκούργου παίδων ἐπιστολῇ ἐρανίσας εἶπεν ἀντὶ τοῦ ἔρανον αἰτήσας· ἐν δὲ τῇ περὶ τοῦ ὀνόματός φησι, Τί δὲ εἰ ψευδομαρτυριῶν ἁλώσεσθαι προσδοκῶν, ἐφ' οἷς ἐρανίζει τούτοις τοῖς περὶ αὐτόν; ἀντὶ εὐποιεῖ ἀποδοὺς τὴν ἴσην βοήθειαν αὐτοῖς, ἣν κἀκεῖνοί ποτε παρέσχον ψευδομαρτυρήσαντες ὑπὲρ αὐτοῦ.

Ἐρανιστὴς μέντοι κυρίως ἐστὶν ὁ τοῦ ἐράνου μετέχων καὶ τὴν φορὰν, ἣν ἑκάστου μηνὸς ἔδει καταβάλλειν, εἰσφέρων. τὸ δὲ ὄνομα παρὰ Λυσίᾳ ἐν τῷ πρὸς Ἀριστοκράτην περὶ ἐγγύης ἐράνου, εἰ γνήσιος.

Ἔργα νέων. τοῦτο καὶ Ὑπερίδης ἐν τῷ κατ' Αὐτοκλέους Ἡσιόδου φησὶν εἶναι. παροιμία τίς ἐστιν, ἣν ἀνέγραψε καὶ Ἀριστοφάνης ὁ γραμματικὸς, οὕτως ἔχουσαν,

ἔργα νέων, βουλαὶ δὲ μέσων, εὐχαὶ δὲ γερόντων.

Ἐργίσκη. Αἰσχίνης κατὰ Κτησιφῶντος. καὶ Ἐργίσκη τῆς Θρᾴκης ἐστίν. ὠνόμασται δὲ ἀπὸ Ἐργίσκου τοῦ Ποσειδῶνος καὶ Ἄβας νύμφης.

Ἐργοκλῆς, στρατηγὸς Ἀθηναίων.

Ἐργόφιλος. καὶ οὗτος στρατηγὸς Ἀθηναίων. 126

Ἑρκεῖος Ζεύς. Δείναρχος ἐν τῷ κατὰ Μοσχίωνος· εἰ φράτορες αὐτῷ καὶ βωμοὶ Διὸς ἑρκείου καὶ Ἀπόλλωνος πατρῴου εἰσίν. ἑρκεῖος Ζεὺς, ᾧ βωμοὶ

Ἐξούλης, ὄνομα δίκης, ἣν ἐπάγουσιν οἱ φάσκοντες ἐξείργεσθαι τῶν ἰδίων κατὰ τῶν ἐξειργόντων. εἴρηται μὲν οὖν τοὔνομα ἀπὸ τοῦ ἐξέλλειν, ὅ ἐστιν
108 ἐξωθεῖν καὶ ἐκβάλλειν. δικάζονται δὲ ἐξούλης κἀπὶ τοῖς ἐπιτιμίοις οἱ μὴ ἀπολαμβάνοντες ἐν τῇ προσηκούσῃ προθεσμίᾳ, ὑπερημέρων γιγνομένων τῶν δικασθέντων. οἱ δὲ ἁλόντες ἐξούλης καὶ τῷ ἑλόντι ἐδίδοσαν ἃ ἀφῃροῦντο αὐτοῦ καὶ τῷ δημοσίῳ κατετίθεσαν τὰ τιμηθέντα. ταῦτα δὲ σαφῶς Ἰσαῖος διδάσκει καὶ Λυσίας ἐν τῷ κατὰ Στρατοκλέους ἐξούλης. Δείναρχος μέντοι ἐν τῇ Κροκωνιδῶν διαδικασίᾳ ἰδίως κέχρηται τῷ τῆς ἐξούλης ὀνόματι ἐπὶ τῆς ἱερείας τῆς μὴ βουλομένης τὰ ἴδια δρᾶν. ὅτι δὲ ἐπὶ παντὸς τοῦ ἐκ τῶν ἰδίων ἐκβαλλομένου τάττεται τοὔνομα, καὶ οὐχ ὡς οἴεται Καικίλιος μόνος τῶν ἐκ καταδίκης ὀφειλόντων, καὶ Φρύνιχος ἐν Ποαστρίαις δῆλον ποιεῖ.

Ἐξωμοσία. τὸ μεθ' ὅρκου πρᾶξίν τινα ἀπαρνήσασθαι διὰ νόσον ἤ τινα ἑτέραν πρόφασιν ἐξωμόσασθαί ἐστιν, ὡς δῆλον ποιεῖ Δημοσθένης ἐν τῷ περὶ τῆς παραπρεσβείας.

Ἐπαγγελία σημαίνει καὶ ἄλλα, ἰδίως δὲ λέγεται ἐπὶ τῶν ἐγκαλούντων τινὶ δημηγορεῖν καὶ πολιτεύεσθαι
109 οὐκ ἐξόν. καὶ ἔστιν οἷον παραγγελία. Αἰσχίνης κατὰ Τιμάρχου. λέγεται παρ' αὐτοῖς τὸ ἐπαγγέλλεσθαι καὶ ἀντὶ τοῦ προστάττειν ἢ αἰτεῖσθαι, ὡς παρά τε Ἀντιφῶντι ἐν τῷ περὶ τοῦ Λινδίων φόρου καὶ Δημοσθένει ἐν τῷ περὶ τῆς παραπρεσβείας.

(65) **Ἐπακτὸς ὅρκος**, ὃν αὐτός τις ἑκὼν αὑτῷ ἐπάγεται, τουτέστιν αἱρεῖται. Λυσίας ἐν τῷ πρὸς Χαιρέστρατον καὶ Ἰσοκράτης Ἀπολλωνιάτης ἐν ταῖς πρὸς Δημόνικον Παραινέσεσιν. ἔστι δὲ ὅρκου τρία εἴδη, ἐπώμοτος καὶ κατώμοτος καὶ ὁ καλούμενος ἐπακτός. εἶναι δὲ τοῦτον οὐχ ἁπλοῦν. δεῖ γὰρ τῶν προτεινομένων ὑπὸ τοῦ ὁρκίζοντος αὐτοῖς ὀνόμασιν ἀντιφωνεῖν τὸν ὁρκιζόμενον.

Ἐπακτροκέλης, Αἰσχίνης ἐν τῷ κατὰ Τιμάρχου. εἶδος δέ ἐστι πλοίου σύνθετον ἔχον τὴν κατα-

σκευὴν, ἔκ τε ἐπακτρίδος καὶ κέλητος. ἦν δὲ ὡς εἰπεῖν ληστρικὸν, ὡς καὶ Δείναρχος ἐν τῇ κατὰ Πολυεύκτου δοκιμασίᾳ.

Ἐπαλλάξεις, ἀντὶ τοῦ συναλλαγὰς, ἢ μίξεις. Ἀντιφῶν ἀληθείας πρώτῃ.

Ἐπαναφορά, τὸ ἀναφέρειν καὶ ἀνακοινοῦσθαι 110
τῷ πλήθει.

Ἐπαιρόμενος, ἀντὶ τοῦ ἐπανατεινόμενος, Δημοσθένης ἐν τῷ ὑπὲρ Κτησιφῶντος· ἐν δὲ τῷ ἑτέρῳ ἐπ' ἄλλου σημαινομένου φησίν, Ἢ κέρδεσιν δι' ἀπορίαν ἐπαιρομένους. Ἀριστοφάνης ἐν Νεφέλαις,

εἴθ' ὤφελ' ἡ προμνήστρι' ἀπολέσθαι κακῶς,
ἥτις με ἔγημ' ἐπῆρε τὴν σὴν μητέρα.

Ἐπεδίκασε καὶ ἐπεδικάσαντο, Δημοσθένης ἐν τῷ κατὰ Ὀλυμπιοδώρου. τὸ μὲν ἐπεδίκασέν ἐστιν οἷον προέκρινε, τὸ δὲ ἐπεδικάσαντο οἷον ἔπεισαν τοὺς δικαστὰς ἑαυτοῖς προσνεῖμαι τὸν κλῆρον.

Ἐπενεγκεῖν δόρυ ἐπὶ τῆς ἐκφορᾶς, καὶ προαγορεύειν ἐπὶ τῷ μνήματι. Δημοσθένης κατ' Εὐέργου καὶ Μνησιβούλου ταῦτά φησιν ἐπὶ τοῦ βιαίως ἀποθανόντος. Ἴστρος δ' ἐν τῇ συναγωγῇ τῶν Ἀτθίδων περὶ Προκρίδος καὶ Κεφάλου εἰπὼν γράφει ταυτί· τινὲς δὲ ἐπὶ τοῦ τάφου δόρυ καταπεπηγότα τὸν Ἐρεχθέα φασὶ, πεποιῆσθαι δὲ παρακαταθέμενόν τε καὶ τὸ πάθος σημαί- (66)
νοντα, διὰ τὸ νόμιμον εἶναι τοῖς προσήκουσι τοῦτον 111
τὸν τρόπον μετέρχεσθαι τοὺς φονέας.

Ἐπεσκήψατο, ἀντὶ τοῦ ἐνεκάλεσε ψευδομαρτυριῶν. λέγεται δὲ ἐνίοτε κατὰ τὸ σπάνιον καὶ ἐπὶ τοῦ ἐγκαλέσαι φόνου, ὡς Ἀντιφῶν ἐν τῷ περὶ τῆς μεταστάσεως. τῷ δὲ ἐνεργητικῷ τῷ ἐπέσκηψεν ἀντὶ τοῦ ἐνετείλατο Ἰσαῖος ἐν τῇ ὑπὲρ Εὐμαθοῦς εἰς ἐλευθερίαν ἀφαιρέσει. τὸ δὲ ἐπισκήπτω ἀντὶ τοῦ μετά τινος ἐπιθειασμοῦ λέγω, οἷον ἐξορκίζω, Ἀνδοκίδης τε ἐν τῷ περὶ τῶν Μυστηρίων καὶ Λυσίας ἐν τῷ ὑπὲρ Κτησιάρχου εἰρήκασιν.

Ἐπιβάτης, Δημοσθένης ἐν τῷ περὶ τοῦ ἐπιτριηραρχήματος. οὕτως ἐκάλουν τῶν ἐν ταῖς τριήρεσι στρατευομένων τοὺς μὴ κωπηλατοῦντας, ἀλλὰ μόνον πρὸς τὸ μάχεσθαι ἐπιτηδείους. Ἀριστοφάνης Βαβυλωνίοις, εὖ γε ἐξεκολύμβησεν ἐπιβάτης, ὡς ἐξοίσων ἐπίγυον.

Ἐπιβλῆτας, Λυσίας ἐν τῷ κατὰ Νικίου φόνου, εἰ γνήσιος. ἐπιβλής ἐστιν, ὡς μὲν Τιμαχίδας φησὶ, δοκός· ὡς δὲ φησι Κλείταρχος ὁ γλωσσογράφος, ποιά τις δοκός.

Ἐπίβοιον, Λυκοῦργος ἐν τῷ περὶ τῆς Ἱερείας.
112 Φιλόχορος ἐν δευτέρῳ φησὶν οὕτως· Ἐὰν δέ τις τῇ Ἀθηνᾷ θύῃ βοῦν, ἀναγκαῖόν ἐστι καὶ τῇ Πανδρόσῳ θύειν ὄϊν μετὰ βοός. καὶ ἐκαλεῖτο τὸ θῦμα ἐπίβοιον. ὁμοίως καὶ Στάφυλος ἐν πρώτῃ τῶν περὶ Ἀθηνῶν.

Ἐπιβολὴ, ἡ ζημία. πολὺ τοὔνομα παρὰ τοῖς ῥήτορσιν, ὡς καὶ παρὰ Λυσίᾳ ἐν τῷ κατὰ Νικομαχίδου, εἰ γνήσιος ὁ λόγος.

Ἐπιγνώμονας, ἀντὶ τοῦ ἐπισκόπους. Λυσίας ἐν τῷ περὶ τοῦ Σηκοῦ.

Ἐπιγραφεῖς, οἱ τὰ δημόσια ἐπιγράφντες. ὁπότε δεήσειεν ἀργύριον εἰσφέρειν εἰς τὸ δημόσιον τοὺς ἀστοὺς ἢ τοὺς μετοίκους, οἱ ταῦτα διαγράφοντες ἐπιγραφεῖς
(67) ἐκαλοῦντο, ἐπιγραφέας ἤτοι τοὺς καθεστηκότας ἐπὶ τῷ γράφειν ἑκάστῳ, ὅσον εἰσφέρειν ὀφείλουσιν εἰς τὸ δημόσιον· καὶ ἐπιγραφομένῳ, τῷ βεβαιοῦντι, καὶ τῷ οἰκείῳ ποιουμένῳ. Λυσίας ἐν τῷ περὶ τῆς εἰσφορᾶς.

Ἐπίγυον, Λυσίας ἐν τῷ πρὸς Ἀνδοκίδην ἀποστασίου, εἰ γνήσιος. τὰ πρυμνήσια ἐπίγυα ἔλεγον. κέχρηνται τῷ ὀνόματι καὶ οἱ τῆς ἀρχαίας κωμῳδίας ποιηταὶ, Ἀριστοφάνης Ὁλκάσιν.

113 Ἐπιδέκατον, τὸ δέκατον. Ἰσαῖος ἐν τῷ κατ' Ἐλπαγόρου. καὶ ἐπίπεμπτον εἰώθασι λέγειν τὸ πέμπτον, ὡς καὶ Εὔπολις Αὐτολύκῳ.

Ἐπὶ Δελφινίῳ. δικαστήριόν ἐστιν οὕτω καλούμενον Ἀθήνησι. δικάζονται δὲ ἐνταῦθα οἱ ὁμολογοῦν-

τες μὲν ἀπεκτονέναι, δικαίως δὲ πεποιηκέναι τοῦτο λέγοντες, ὡς Δημοσθένης ἐν τῷ κατ' Ἀριστοκράτους δηλοῖ καὶ Ἀριστοτέλης ἐν τῇ Ἀθηναίων πολιτείᾳ.

Ἐπιδιατίθεσθαι, Λυσίας ἐν τῷ πρὸς Θεοπείθη ἐπιτροπῆς ἐπιλόγῳ. ἐπιδιατίθεσθαί ἐστι τὸ συνθήκας τινὰς ποιεῖσθαι κατατιθεμένους τὶ ῥητὸν ἀργύριον παρά τινι τῶν μεταξὺ γενομένων, ὅσπερ ἐγγυᾶται ἑκατέρῳ, ὥστε εἰ ἡ πρᾶξις γένοιτο, θατέρῳ πάντως τὸ ὡμολογημένον ἀργύριον ἀποδοῦναι. τὸ δὲ πρᾶγμα αὐτὸ λέγεται ἐπιδιαθήκη, ὡς ὁ αὐτὸς ῥήτωρ ἐν τῷ ὑπὲρ Νησοκλέους δηλοῖ.

Ἐπὶ Δηλίῳ μάχῃ, Λυκοῦργος ἐν τῷ κατὰ Λυσικλέους. Δήλιον χωρίον ἐστὶ τῆς Βοιωτίας. ἐνταῦθα Ἀθηναῖοι μαχόμενοι ἐνικήθησαν ὑπὸ Βοιωτῶν, καθά φησι Θουκυδίδης ἐν πρώτῃ.

Ἐπιδιετὲς ἡβῆσαι. Δημοσθένης ἐν τῷ κατὰ Στεφάνου. Δίδυμός φησιν ἀντὶ τοῦ, ἐὰν ἑκκαίδεκα 114
ἐτῶν γένωνται. τὸ γὰρ ἡβῆσαι μέχρι τεσσαρεσκαίδεκά ἐστιν. ἄλλοι, ἔφηβοι παρ' Ἀθηναίοις ὀκτωκαιδεκαετεῖς γίνονται, καὶ μένουσιν ἐν τοῖς ἐφήβοις ἔτη δύο, ἔπειτα τῷ ληξιαρχικῷ ἐγγράφονται γραμματείῳ, καθά φησιν (68)
Ὑπερίδης ἐν τῷ πρὸς Χάρητα ἐπιτροπικῷ· Ἐπειδὴ δὲ ἐνεγράφην ἐγώ, καὶ ὁ νόμος ἀποδέδωκε τὴν κομιδὴν τῶν καταλειφθέντων τῇ μητρί, ὃς κελεύει κυρίους εἶναι τῆς ἐπικλήρου καὶ τῆς οὐσίας ἁπάσης τοὺς παῖδας, ἐπειδὰν ἐπιδιετὲς ἡβῶσιν.

Ἐπίδικος, καὶ ἐπίκληρος, καὶ ἐπίπροικος, καὶ ἐπικληρῖτις. ἐπίκληρος μέν ἐστιν ἡ ἐπὶ παντὶ τῷ κλήρῳ ὀρφανὴ καταλελειμμένη, μὴ ὄντος αὐτῇ ἀδελφοῦ· ἡ δὲ αὐτὴ καὶ ἐπικληρῖτις. ἐπίπροικος δὲ ἡ ἐπὶ μέρει τινὶ τοῦ κλήρου, ὥστε προῖκα ἔχειν, ἀδελφῶν αὐτῇ ὄντων. ἐπίδικος δὲ ἡ ἀμφισβητουμένη ἐπίκληρος ὅτῳ χρὴ αὐτὴν γαμηθῆναι. ταῦτα δὲ δηλοῦσιν Ἰσαῖος ἐν τῷ πρὸς Σάτυρον ὑπὲρ ἐπικλήρου καὶ Δείναρχος ἐν τῷ ἐπιγραφομένῳ Διαμαρτυρία περὶ τοῦ μὴ ἐπίδικον εἶναι τὴν Ἀριστοφῶντος θυγατέρα· ἐν δὲ τούτῳ τῷ λόγῳ 115

δείκνυται καὶ ὅτι τὰς ἀπορουμένας κόρας ἐξεδίδοσαν οἱ ἄγχιστα γένους, πέντε μνᾶς ἐπιδιδόντες. ὁ δὲ Ἰσαῖος ἐν τῷ πρὸς Λυσίβιον τὴν ἐπίκληρον ἐπικληρῖτιν κέκληκεν.

Ἐπὶ Θρασύλλῳ, Δημοσθένης ἐν τῇ πρὸς Πανταίνετον παραγραφῇ φησι, Τὸ ἐπὶ Θρασύλλῳ. Ἀττικὸν ἔθος ἀντὶ τοῦ ἐπὶ τῷ Θρασύλλου μνήματι.

Ἐπιθέτους ἑορτάς, Ἰσοκράτης Ἀρεοπαγιτικῷ. τὰς μὴ πατρίους, ἄλλως δὲ ἐπιψηφισθείσας, ἐπιθέτους ἐκάλουν. ἐλέγετο δὲ παρ' αὐτοῖς καὶ ἐπίθετά τινα, ὁπόσα μὴ πάτρια ὄντα ἡ ἐξ Ἀρείου Πάγου βουλὴ ἐδίκαζεν, ὡς σαφὲς ποιεῖ Λυσίας ἐν τῇ πρὸς τὴν Μιξιδήμου γραφὴν ἀπολογίᾳ. ἐπιθέτους δὲ ἐπιστολὰς Λυσίας ἐν τῷ κατὰ Θρασυβούλου τινὰς ὀνομάζει, λέγοι δ' ἂν τὰς δοθείσας τισὶν ὥστε διακομίσαι. λέγειν γὰρ ἦν εἰθισμένον, ἐπέθηκεν ἐπιστολήν, ἀντὶ τοῦ παρέδωκεν, ὡς
116 Δημοσθένης ἐν τῷ ὑπὲρ Χρυσίππου πρὸς τὴν Φορμίωνος παραγραφήν. Κρατῖνος ἐν Τροφωνίῳ.

(69) Ἐπικεκηρυχέναι, Δημοσθένης ἐν τῷ περὶ τῆς παραπρεσβείας. ὁπότε βούλοιτο πόλις, ἢ ἀρχῶν ἀναιρεθῆναί τινα τῶν μὴ ὄντων ὑφ' ἑαυτοῖς, ἐκήρυττε δώσειν χρήματα, εἴ τις αὐτὸν ἀνέλοι, τόσα καὶ τόσα, καθάπερ Ξέρξῃ ἐπεκήρυξαν οἱ Ἕλληνες, εἴ τις ἢ ζῶντα ἢ νεκρὸν καταγάγοι Ἀθήναζε, δώσειν ἑκατὸν τάλαντα.

Ἐπικηρυκεία, τὸ περὶ φιλίας καὶ διαλλαγῶν κήρυκας πέμπειν. Δημοσθένης Φιλιππικῶν πέμπτῳ.

Ἐπὶ κόρρης, Δημοσθένης ἐν τῷ κατὰ Μειδίου. ἄλλοι μὲν ἄλλως ἀπέδοσαν, βέλτιον δὲ ὑπολαμβάνειν ἐπὶ κόρρης λέγεσθαι τὸ ἐπὶ τῆς γνάθου, ὃ λέγομεν ἐν τῷ βίῳ ῥάπισμα. Ὑπερίδης οὖν, ἢ Φιλῖνος, ἐν τῷ κατὰ Δωροθέου, προειπὼν ῥαπίσαντα τὸν Ἱππόνικον ἐπὶ κόρρης γραφῆναι ὕβρεως, ἐν τοῖς ἑξῆς ὥσπερ ἐξηγεῖται τοὔνομα λέγων, Ἔπειτα Ἱππόνικος ὑπ' Αὐτοκλέους μό-
117 νον ἐρραπίσθη τὴν γνάθον, ἐγὼ δὲ ὑπὸ τούτων τῶν τριχῶν εἱλκόμην, κονδύλους ἔλαβον.

Ἐπικράτης, Ἰσαῖος ἐν τῷ περὶ τῶν ἐν Μακεδονίᾳ ῥηθέντων. οὗτός ἐστιν ὁ τῶν Ἀθηναίων δημαγω-

γὸς ὁ Σακεσφόρος ἐπικαλούμενος, οὗ μνημονεύει καὶ Δημοσθένης ἐν τῷ περὶ τῆς παραπρεσβείας. ἕτερος δ' ἐστὶν Ἐπικράτης οὗ μνημονεύει Λυκοῦργος ἐν τῷ περὶ διοικήσεως, λέγων· ὡς χαλκοῦς ἐστάθη διὰ τὸν νόμον τὸν περὶ τῶν ἐφήβων, ὅν φασι κεκτῆσθαι ταλάντων ἑξακοσίων οὐσίαν. ἄλλος δ' ἐστὶν Ἐπικράτης, Αἰσχίνου τοῦ ῥήτορος κηδεστής, ὡς δηλοῦται ὑπ' αὐτοῦ ἐν τῇ περὶ τῆς παραπρεσβείας ἀπολογίᾳ. οὗτος μέντοι ἐπώνυμον εἶχε Κυρηβίων, ὡς ὁ Δημοσθένης φησὶν ἐν τῷ κατ' Αἰσχίνου.

Ἐπιλαχών, Αἰσχίνης κατὰ Κτησιφῶντος· Οὔτε λαχὼν οὔτ' ἐπιλαχών, ἀλλ' ἐκ παρασκευῆς πριάμενος. ἔοικε τὸ γιγνόμενον τοιοῦτον εἶναι· ἐκληροῦντο οἱ βουλεύειν ἢ ἄρχειν ἐφιέμενοι, ἔπειτα ἑκάστῳ τῶν λαχόντων ἕτερος ἐπελάγχανεν, ἵν' ἐὰν ὁ πρῶτος λαχὼν ἀποδοκι- (70) μασθῇ, ἢ τελευτήσῃ, ἀντ' ἐκείνου γένηται βουλευτὴς 118 ἢ ἄρχων ὁ ἐπιλαχὼν αὐτῷ. ὑποφαίνεται δὲ ταῦτα ἐν τῷ Πλάτωνος Ὑπερβόλῳ.

Ἐπιμελητὴς τῶν μυστηρίων, παρ' Ἀθηναίοις ὁ λεγόμενος βασιλεύς. Δημοσθένης κατὰ Μειδίου. Ἀριστοτέλης ἐν Ἀθηναίων πολιτείᾳ φησὶν οὕτως· Ὁ δὲ βασιλεὺς πρῶτον μὲν τῶν μυστηρίων ἐπιμελεῖται μετὰ τῶν ἐπιμελητῶν, οὓς ὁ δῆμος ἐχειροτόνει. τέσσαρες ἦσαν, δύο μὲν ἐξ Ἀθηναίων ἁπάντων, εἷς δὲ ἐξ Εὐμολπιδῶν, καὶ εἷς ἐκ Κηρύκων.

Ἐπιμελητὴς ἐμπορίου, Δείναρχος ἐν τῷ κατὰ Πυθέου. Ἀριστοτέλης· Ἐμπορίου δ' ἐπιμελητὰς δέκα κληροῦσιν, τούτοις δὲ προστέτακται τῶν τε ἐμπορίων ἐπιμελεῖσθαι καὶ τοῦ σίτου τοῦ καταπλέοντος εἰς τὸ Ἀττικὸν ἐμπόριον τὰ δύο μέρη τοὺς ἐμπόρους ἀναγκάζειν εἰς τὸ ἄστυ κομίζειν.

Ἐπιμήνια, Λυκοῦργος ἐν τῷ περὶ τῆς Ἱερείας· ἔοικεν εἶναι ἐπιμήνια ἤτοι τὰ καθ' ἕκαστον μῆνα θυόμενα, ἢ τὰ ὑπὲρ ὅλου μηνὸς ἅπαξ ποτὲ γιγνόμενα θύματα.

Ἐπιορκήσαντα. Λυσίας κατὰ Θεομνήστου ἐξη- 119 γήσατο ὅτι τὸ ἐπιορκήσαντα ὀμόσαντά ἐστιν.

Ἐπὶ Παλλαδίῳ, Δημοσθένης ἐν τῷ κατ' Ἀριστοκράτους. δικαστήριόν ἐστιν οὕτω καλούμενον, ὡς καὶ Ἀριστοτέλης ἐν Ἀθηναίων πολιτείᾳ, ἐν ᾧ δικάζουσιν ἀκουσίου φόνου καὶ βουλεύσεως οἱ ἐφέται. ἔσχε δὲ τὸ δικαστήριον τὴν τοῦ Παλλαδίου ἐπωνυμίαν καὶ οἱ δικασταὶ τὴν τῶν ἐφετῶν ἐντεῦθεν· Ἀγαμέμνονος μετὰ τῶν Ἀργείων σὺν τῷ Παλλαδίῳ προσενεχθέντος Ἀθήναις ἐξ Ἰλίου, Δημοφῶν ἁρπάζει τὸ Παλλάδιον καὶ πολλοὺς τῶν διωκόντων ἀναιρεῖ· Ἀγαμέμνων δὲ δυσχεράνας δίκην τὸν ἁρπάσαντα ἀπαιτεῖ, καὶ συνίσταται τὸ κριτήριον ἐπὶ πεντήκοντα μὲν Ἀθηναίων, πεντήκοντα
(71) δὲ Ἀργείων, οὓς ἐφέτας ἐκάλεσαν παρὰ τὸ παρ' ἀμφοτέρων ἐφεθῆναι αὐτοῖς τὰ τῆς κρίσεως.

Ἐπίπεμπτον. Λυσίας ἐν τῷ πρὸς Κριτόδημον, καὶ Πλάτων, ἀντὶ τοῦ ἁπλοῦ τοῦ πέμπτου. Ἀριστοφάνης Δαιταλεῦσιν,

εἰ μὴ μεταλάβῃ τοὐπίπεμπτον, κλαέτω.

Ἔπιπλον, Ἰσαῖος ἐν τῷ πρὸς Διοκλέα. τὰ κατὰ
120 τὴν οἰκίαν σκεύη ἔπιπλα λέγουσι, τὴν οἷον ἐπιπόλαιον κτῆσιν καὶ μετακομίζεσθαι δυναμένην. Σοφοκλῆς Ἀκάμαντι.

Ἐπὶ πρυτανείῳ. δικαστήριόν ἐστι καὶ τοῦτο φονικόν. δικάζει δὲ ἄν τι τῶν ἀψύχων ἐμπεσὸν ἀποκτείνῃ τινά, τοῦτο δέ ἐστιν ἐὰν λίθος, ἢ ξύλον, ἢ σίδηρος, ἤ τι τοιοῦτον, καὶ τὸν μὲν βαλόντα ἀγνοῇ, αὐτὸ δὲ εἰδῇ καὶ ἔχῃ τὸ τὸν φόνον εἰργασμένον.

Ἐπισημαίνεσθαι, ἀντὶ τοῦ ἐπαινεῖν καί, ὡς ἐν τῇ συνηθείᾳ λέγομεν, ἐπιφωνεῖν. Ἰσοκράτης Παναθηναϊκῷ. ἀντὶ δὲ τοῦ ἐπισφραγίσαι Ἰσαῖος ἐν τῇ ἐξούλης Καλυδῶνι πρὸς Ἁγνόθεον ἀπολογίᾳ.

Ἐπισίτια, τὰ εἰς τροφὴν καὶ εἰς τὸ σιτεῖσθαι διδόμενα. Λυσίας ἐν τῷ κατὰ Δημοσθένους ἐπιτροπῆς. ταῦτα δὲ ἐνίοτε ἐκάλουν καὶ σιτίον.

Ἐπίσκοπος, Ἀντιφῶν ἐν τῷ περὶ τοῦ Λινδίων φόρου, καὶ ἐν τῷ κατὰ Λαισποδίου. οἱ παρ' Ἀθη-

ναίων εἰς τὰς ὑπηκόους πόλεις ἐπισκέψασθαι τὰ παρ' ἑκάστοις πεμπόμενοι ἐπίσκοποι καὶ φύλακες ἐκαλοῦντο, οὓς οἱ Λάκωνες ἁρμοστὰς ἔλεγον. Θεόφραστος γοῦν 121
ἐν πρώτῳ τῶν πολιτικῶν τῶν πρὸς καιροὺς φησὶν οὕτω· Πολλῷ γὰρ κάλλιον κατά γε τὴν τοῦ ὀνόματος θέσιν, ὡς οἱ Λάκωνες ἁρμοστὰς φάσκοντες εἰς τὰς πόλεις πέμπειν, οὐκ ἐπισκόπους οὐδὲ φύλακας, ὡς Ἀθηναῖοι.

Ἐπιστάτης, Ἰσαῖος ἐν τῷ κατ' Ἐλπαγόρου καὶ (72)
Δημοφάνους. δύο εἰσὶν οἱ καθιστάμενοι ἐπιστάται, ὁ μὲν ἐκ πρυτανέων κληρούμενος, ὁ δὲ ἐκ τῶν προέδρων, ὧν ἑκάτερος τίνα διοίκησιν διοικεῖ, δεδήλωκεν ὁ Ἀριστοτέλης ἐν τῇ Ἀθηναίων πολιτείᾳ. ἐλέγετο δ' ἐν τοῖς κοινοῖς καὶ ὁ ἐφεστηκὼς πράγματι ὁτῳοῦν, ὡς Ὑπερίδης τε ἐν τῷ κατὰ Δημοσθένους καὶ Αἰσχίνης ἐν τῷ κατὰ Κτησιφῶντος φανερὸν ποιοῦσιν.

Ἐπίσταθμος. Ἰσοκράτης Πανηγυρικῷ. Ἑκάτομνος ὁ Καρίας ἐπίσταθμος, ὃς οὐδὲν ἕτερον ἦν, ἢ κατὰ σατραπείαν Καρίας κύριος ὑπῆρχεν.

Ἐπιτελεοῦν καὶ ἐπιτελέωμα. ἀμφότερα πολλάκις ἐστὶ τὰ ὀνόματα ἐν τῷ περὶ τῆς Ἱερείας Λυκούργου. ἔοικε δὲ ἐπιτελέωμα λέγεσθαι τὸ ἐπὶ πᾶσι θυόμε- 122
νον, ὑπὲρ τοῦ ἐπιτελεῖς γενέσθαι τὰς πρότερον θυσίας. αὐτὸς γοῦν ὁ ῥήτωρ ἐν τῷ λόγῳ φησίν, ἔτι τοίνυν ἔφη πάντων ὕστατα ταῦτα θύεσθαι, καὶ ἐπιτελεώματα εἶναι τῶν ἄλλων θυμάτων.

Ἐπιτιμητάς. οἱ μὲν τὸ πρῶτον τιμώμενοί τι τιμηταὶ ἐκαλοῦντο, οἱ δὲ τοῖς ἑξῆς ἔτεσι τὰ αὐτὰ τιμώμενοι ἐπιτιμηταί. Λυσίας ἐν τῷ κατὰ Διογένους.

Ἐπιτείχισμα, τὸ τειχιζόμενον κατά τινων χωρίον, ὅθεν ὁρμώμενοι οἱ τειχίσαντες κακῶς δυνήσονται ποιεῖν τοὺς ἐπιτειχισθέντας. Δημοσθένης ἐν τῷ ὑπὲρ Κτησιφῶντος. καὶ τὸ πρᾶγμα δὲ ἐπιτειχισμὸν ὀνομάζουσιν, ὥσπερ ἐν ταυτῷ τῷ λόγῳ ἐστίν.

Ἐπιτροπή, παρατροπή. ὁ δὲ Λεύκιος ἐπιχειριζόμενος διαπέμπεσθαι πρὸς τοὺς Δαπατηνοὺς καὶ λαλεῖν

ὑπὲρ ἐπιτροπῆς, ἀπαράσκευος ἦν εἰς τὸ μέλλον. καὶ Δημοσθένης ἐν τῷ κατὰ Ἀφόβου πρώτῳ οὕτως ἤρξατο· Εἰ μὲν ἐβούλετο Ἄφοβος, ὦ ἄνδρες δικασταί, δίκαια ποιεῖν περὶ ὧν διαφερόμεθα, τοῖς τε οἰκείοις ἐπιτρέπειν.
123 ἀντὶ τοῦ διαιτητὰς αὐτοὺς αἱρεῖσθαι. ὅθεν καὶ Μενάν-
(73) δρου δρᾶμα Ἐπιτρέποντες. Λυσίας δ' ἐν τῷ πρὸς τοὺς ἐπιτρόπους τῶν Βοώνος παίδων, ἐπέτρεψεν, εἶπεν, ἀνδράσιν, ἀντὶ τοῦ ἐπιτρόπους κατέστησεν.

Ἐπιτρίταις, Ἰσαῖος ἐν τῷ κατὰ Καλλιφῶντος· ἑξακοσίαις δραχμαῖς ἐπιτρίταις· ἀντὶ τοῦ ἐπὶ ὀκτὼ ὀβολοῖς, κατὰ τὸ τρίτον εἶναι μέρος τοὺς ὀκτὼ ὀβολοὺς τοῦ τετραδράχμου.

Ἐπιχάρης, Δημοσθένης ἐν τῷ ὑπὲρ Κτησιφῶντος. ὄνομα κύριον, Σικυώνιος προδότης.

Ἐπιχειροτονία, ἡ τῶν χειροτονητῶν κατάστασις. Ὑπερίδης ἐν τῷ ὑπὲρ Σιμμίου πρὸς Πυθέαν καὶ Λυκοῦργον.

Ἐπιψηφίζων, ἀντὶ τοῦ ἐπικυρῶν. Δημοσθένης ἐν τῷ κατ' Ἀνδροτίωνος. πολὺ δέ ἐστι παρὰ τοῖς Ἀττικοῖς τοὔνομα ἐπὶ τούτου τοῦ σημαινομένου, ὡς καὶ παρὰ Ξενοφῶντι ἐν πρώτῃ ἀπομνημονευμάτων.

Ἐπόγδοον, Δημοσθένης ἐν τῷ πρὸς Πολυκλέα περὶ τοῦ ἐπιτριηραρχήματος. εἴη δ' ἂν ἐπόγδοον τὸ οὕτω δεδανεισμένον, ὥστε τοῦ κεφαλαίου τὸ ὄγδοον μέρος δοθῆναι τῷ δανειστῇ. οἷον τριώβολον τοῦ τετραδράχμου.

124 Ἐπωβελίαι, Δημοσθένης ἐν τῷ κατὰ Στεφάνου. ἐπιτίμιόν ἐστιν ἡ ἐπωβελία τὸ ἕκτον μέρος τοῦ τιμήματος, ὃ ἐπράττοντο οἱ γραψάμενοί τινας καὶ μὴ ἑλόντες αὐτοῖς τοῖς γραφεῖσιν. ἐκαλεῖτο δὲ οὕτως, ὅτι καθ' ἑκάστην δραχμὴν ὀβολὸς ἦν, ὅπερ ἕκτον ἐστιν, ἐν ἓξ ὀβολοῖς τῆς δραχμῆς λογιζομένης. ἐκ πολλῶν δέ ἐστι τοῦτο οὕτως ἔχον μαθεῖν.

Ἐπωνία τέλος ἐστὶ τὸ ἐπὶ τῇ ὠνῇ διδόμενον· εἴη δ' ἂν ἴσως ἡ πέμπτη. Ἰσαῖος ἐν τῷ κατ' Ἐλπαγόρου καὶ Δημοφάνους, κἂν τῇ πρὸς Τληπόλεμον ἀντωμοσίᾳ.

Ἐπώνυμοι, Δημοσθένης ἐν τῷ κατὰ Τιμοκράτους. διττοί εἰσιν οἱ ἐπώνυμοι, οἱ μὲν δέκα τὸν ἀριθμόν, ἀφ' ὧν αἱ φυλαί, ἕτεροι δὲ δύο καὶ τεσσαράκοντα, ἀφ' ὧν αἱ ἡλικίαι προσαγορεύονται τῶν πολι- (74) τῶν καθ' ἕκαστον ἔτος, ἀπὸ ὀκτωκαίδεκα ἐτῶν μέχρις ἑξήκοντα.

Ἐποπτευκότων, Ὑπερίδης ἐν τῷ ὑπὲρ Φρύνης. οἱ μυηθέντες ἐν Ἐλευσῖνι ἐν τῇ δευτέρᾳ μυήσει ἐποπτεύειν λέγονται, ὡς δῆλόν ἐστιν ἔκ τε τοῦ Δημοσθένους λόγου καὶ ἐκ τῆς δεκάτης Φιλοχόρου.

Ἐρανίζοντες. Δημοσθένης ἐν τῇ περὶ τῶν 125 Λυκούργου παίδων ἐπιστολῇ ἐρανίσας εἶπεν ἀντὶ τοῦ ἔρανον αἰτήσας· ἐν δὲ τῇ περὶ τοῦ ὀνόματός φησι, Τί δὲ εἰ ψευδομαρτυριῶν ἁλώσεσθαι προσδοκῶν, ἐφ' οἷς ἐρανίζει τούτοις τοῖς περὶ αὐτόν; ἀντὶ εὐποιεῖ ἀποδοὺς τὴν ἴσην βοήθειαν αὐτοῖς, ἣν κἀκεῖνοί ποτε παρέσχον ψευδομαρτυρήσαντες ὑπὲρ αὐτοῦ.

Ἐρανιστὴς μέντοι κυρίως ἐστὶν ὁ τοῦ ἐράνου μετέχων καὶ τὴν φοράν, ἣν ἑκάστου μηνὸς ἔδει καταβάλλειν, εἰσφέρων. τὸ δὲ ὄνομα παρὰ Λυσίᾳ ἐν τῷ πρὸς Ἀριστοκράτην περὶ ἐγγύης ἐράνου, εἰ γνήσιος.

Ἔργα νέων. τοῦτο καὶ Ὑπερίδης ἐν τῷ κατ' Αὐτοκλέους Ἡσιόδου φησὶν εἶναι. παροιμία τίς ἐστιν, ἣν ἀνέγραψε καὶ Ἀριστοφάνης ὁ γραμματικὸς, οὕτως ἔχουσαν,

ἔργα νέων, βουλαὶ δὲ μέσων, εὐχαὶ δὲ γερόντων.

Ἐργίσκη. Αἰσχίνης κατὰ Κτησιφῶντος. καὶ Ἐργίσκη τῆς Θρᾴκης ἐστίν. ὠνόμασται δὲ ἀπὸ Ἐργίσκου τοῦ Ποσειδῶνος καὶ Ἄβας νύμφης.

Ἐργοκλῆς, στρατηγὸς Ἀθηναίων.

Ἐργόφιλος. καὶ οὗτος στρατηγὸς Ἀθηναίων. 126

Ἑρκεῖος Ζεύς. Δείναρχος ἐν τῷ κατὰ Μοσχίωνος· εἰ φράτορες αὐτῷ καὶ βωμοὶ Διὸς ἑρκείου καὶ Ἀπόλλωνος πατρῴου εἰσίν. ἑρκεῖος Ζεὺς, ᾧ βωμοὶ

ἐντὸς ἕρκους ἐν τῇ αὐλῇ ἵδρυνται. τὸν γὰρ περίβολον ἕρκος ἔλεγον. ὅτι δὲ τούτοις μετῆν τῆς πολιτείας, οἷς (75) εἴη Ζεὺς ἑρκεῖος, δεδήλωκε καὶ Ὑπερίδης ἐν τῷ ὑπὲρ δημοποιητοῦ, εἰ γνήσιος. καὶ Δημήτριος ἐν τοῖς περὶ τὴν ἐν Ἀθήνησι νομοθεσίαν.

Ἑρμᾶς, ὕφαλος πέτρα. Ἀντιφῶν ἐν τῇ πρὸς Καλλίου ἔνδειξιν ἀπολογίᾳ. ἔστι τοὔνομα καὶ παρὰ Ἀνακρέοντι καὶ ἐν Γηρυτάδῃ Ἀριστοφάνους.

Ἑρμαῖ, Αἰσχίνης ἐν τῷ κατὰ Κτησιφῶντος καὶ Ὑπερίδης ἐν τῷ περὶ τῶν Εὐβούλου δωρεῶν. Μενεκλῆς, ἢ Καλλίστρατος, ἐν τῷ περὶ Ἀθηναίων γράφει ταυτί· Ἀπὸ γὰρ τῆς Ποικίλης καὶ τῆς τοῦ βασιλέως στοᾶς εἰσὶν οἱ Ἑρμαῖ καλούμενοι. διὰ γὰρ τὸ πολλοὺς κεῖσθαι καὶ ὑπὸ ἰδιωτῶν καὶ ἀρχόντων, ταύτην εἰληφέναι τὴν προσηγορίαν συμβέβηκεν. ἐφ᾽ ἑνὸς δὲ αὐτῶν ἐπιγέγραπται γράμμασιν ἀρχαίοις,

127 ἀντ᾽ εὐεργεσίης Ἀγαμέμνονα δῆσαν Ἀχαιοί.

ὅτι δὲ καὶ Θρᾳκῶν στοά τις ἐλέγετο, δεδήλωκε καὶ Ἀντιφῶν ἐν τῷ πρὸς Νικοκλέα. ὅτι δὲ ἐκαλοῦντό τινες καὶ Ἱππάρχειοι Ἑρμαῖ ἀπὸ Ἱππάρχου τοῦ Πεισιστράτου, εἴρηται ἔν τε τῇ ἀρχαίᾳ κωμῳδίᾳ καὶ παρὰ Πλάτωνι ἐν τῷ Ἱππάρχῳ.

Ἕρμος, δῆμός ἐστι τῆς Ἀττικῆς, φυλῆς Ἀκαμαντίδος, ὥς φησι Διόδωρος ἐν τῷ περὶ Δήμων. Διονύσιος δὲ ὁ τοῦ Τρύφωνος ἐν τῷ περὶ ὀνομάτων φησίν, ὡς ἔοικεν οὐδέτερον εἶναι τὸ δήμου ὄνομα τὸ Ἕρμος, ὡς τὸ ἕρκος. Ζώπυρος δὲ ἐν τοῖς περὶ Ποταμῶν Ἕρμον φησὶν εἶναι ἐν τῇ Ἀττικῇ καὶ δῆμον ὁμώνυμον αὐτῷ.

Ἑρμῆς ὁ πρὸς τῇ πυλίδι. Δημοσθένης ἐν τῷ κατ᾽ Εὐέργου καὶ Μνησιβούλου. Φιλόχορος ἐν πέμπτῳ Ἀτθίδος φησίν, ὡς οἱ ἐννέα ἄρχοντες ταῖς φυλαῖς ἀνέθεσαν Ἑρμῆν παρὰ τὸν πυλῶνα τὸν Ἀττικόν.

Ἑρμίας, ὄνομα κύριον. οὗτός ἐστιν εὐνοῦχος ὁ (76) τρίπρατος, οἰκείως δὲ διέκειτο πρὸς Ἀριστοτέλην, καὶ τὴν θετὴν αὐτοῦ θυγατέρα ἔδωκε τῷ φιλοσόφῳ. τοῦτον δὲ τὸν Ἑρμίαν μόνον γράφουσι διὰ τοῦ ι.

Ἐροιάδαι. οἱ Ἐροιάδαι δῆμός ἐστι τῆς Ἱπποθοωντίδος, ὥς φησι Διόδωρος.

Ἐρυθραῖοι, Δημοσθένης Φιλιππικοῖς. οἱ ἀπὸ πόλεως τῆς ἐν Ἰωνίᾳ Ἐρύθρας καλουμένης. Ἐρυθρὰ μία τῶν ὑπὸ Νηλέως τοῦ Κόδρου κτισθεισῶν, ὥς φησιν Ἑλλάνικος ἐν Ἀτθίσιν.

Ἐρχείαθεν, Δείναρχος κατὰ Στεφάνου. Ἐρχεία, δῆμός ἐστι τῆς Αἰγηΐδος, ὥς φησι Διόδωρος.

Ἐσπαθᾶτο. Δημοσθένης ἐν τῷ κατ' Αἰσχίνου. Δίδυμός φησιν ἀντὶ τοῦ ἀπώλλυτο, παρὰ τὴν σπάθην· σπάθη δέ ἐστι ξίφος. μήποτε δὲ ἀπὸ τῶν ὑφαινόντων ἡ μεταφορὰ, σπάθῃ γὰρ χρῶνται. καὶ ὁ Ἀριστοφάνης ἐν Νεφέλαις· ὦ γύναι, λίαν σπαθᾷς. ἐσπαθᾶτο ἤτοι ἐλέγετο, ἢ ἐῤῥίπτετο, ἢ διεκόπτετο ἀπὸ τῆς σπάθης. οὕτω γὰρ τὴν μάχαιραν καλοῦσιν· ἢ ἀντὶ τοῦ συνετίθετο, ἀπὸ τῆς τῶν ὑφαντῶν σπάθης; ἥτις συντίθησι τὰ ὑφαινόμενα.

Ἑστιάτωρ, ὁ τράπεζαν τισὶ παρατιθείς. Δημοσθένης ἐν τῷ πρὸς Βοιωτόν. εἱστίων τὰς φυλὰς, οἱ μὲν ἐθελονταὶ, οἱ δὲ κληρωταὶ, ὡς ὁ αὐτὸς ῥήτωρ δηλοῖ ἐν τῷ κατὰ Μειδίου.

Ἐσχάρα, Λυκοῦργος ἐν τῷ περὶ Ἱερείας. Ἀμμώ- 129
νιος ἐν τοῖς περὶ βωμῶν ἐσχάραν φησὶ καλεῖσθαι τὴν μὴ ἔχουσαν ὕψος ὡς ἑστίαν, ἀλλ' ἐπὶ τῆς γῆς ἱδρυμένην κοίλην, παρ' ὃ καὶ τοὺς ἰατροὺς τὰ ἐν τοῖς σώμασι κοῖλα ἕλκη ἐσχάρας καλεῖν.

Ἐσχατιὰ, Δημοσθένης ἐν τῷ πρὸς Φαίνιππον. τὰ πρὸς τοῖς τέρμασι τῶν χωρίων ἐσχατιὰς ἔλεγον, οἷς γειτνιᾷ εἴτε ὄρος εἴτε θάλασσα.

Ἑταιρεία, ἰδίως ἐπὶ τῆς ἑταιρήσεως τοὔνομα τέταχεν Ἀνδοκίδης ἐν τῇ περὶ τῶν Μυστηρίων ἀπολογίᾳ.

Ἐτεοβουτάδαι, Λυκοῦργος ἐν τῷ περὶ Ἱερείας. (77)
γένος Ἀθηναίοις, οἷον οἱ ἀληθῶς ἀπὸ Βούτου· ἐτεὸν γὰρ τὸ ἀληθές· ἐκ δὲ τούτων καθίστατο ἡ ἱέρεια τῆς Πολιάδος Ἀθηνᾶς, καθά φησι Δράκων περὶ Γενῶν.

Ἑτερόφθαλμος, ὁ ἐν Λοκροῖς νομοθετήσας. Δημοσθένης ἐν τῷ κατὰ Τιμοκράτους.

Εὐαγόρας, ὄνομα κύριον, εἰς ὃν τὸ ἐγκώμιον Ἰσοκράτους.

Εὐαίων, Δημοσθένης κατὰ Μειδίου, ὄνομα κύριον.

130 Εὐανδρία, Δείναρχος ἐν τῷ κατὰ Ἀγασικλέους. Παναθηναίοις Εὐανδρίας ἀγὼν ἤγετο. Ἀνδοκίδης δ' ἐν τῷ κατ' Ἀλκιβιάδου δηλοῖ καὶ Φιλόχορος.

Εὔβουλος. Ὑπερίδου λόγος ἐστὶ περὶ τῶν Εὐβούλου δωρεῶν· μνημονεύει δ' αὐτοῦ Δημοσθένης ἐν τῷ ὑπὲρ Κτησιφῶντος. ὅτι δὴ δημαγωγὸς ἦν ἐπιφανέστατος, ἐπιμελής τε καὶ φιλόπονος, ἀργυριόν τε συχνὸν πορίζων τοῖς Ἀθηναίοις διένειμε· διὸ καὶ τὴν πόλιν ἐπὶ τῆς τούτου πολιτείας ἀνανδροτάτην καὶ ῥᾳθυμοτάτην συνέβη γενέσθαι· Θεόπομπος ἐν τῇ δεκάτῃ τῶν Φιλιππικῶν. ἕτερος δ' ἐστὶν ὁ κωμικὸς, οὗ μνημονεύει Ὑπερίδης ἐν τῷ κατ' Ἀρχεστρατίδου.

Εὔδικος, Δημοσθένης ἐν τῷ ὑπὲρ Κτησιφῶντος. εἷς δέ ἐστιν οὗτος τῶν κατασταθέντων ὑπὸ Φιλίππου κυρίων Θετταλίας ἁπάσης.

Εὔηνος, Ὑπερίδης ἐν τῷ κατ' Αὐτοκλέους. δύο ἀναγράφουσιν Εὐήνους ἐλεγείων ποιητὰς, ὁμωνύμους ἀλλήλοις, καθάπερ Ἐρατοσθένης ἐν τῷ περὶ Χρονογραφιῶν, ἀμφοτέρους λέγων Παρίους εἶναι· γνωρίζεσθαι
131 δέ φησιν τὸν νεώτερον μόνον. μέμνηται δὲ θατέρου αὐτῶν καὶ Πλάτων.

Εὐηνιώτατα, Ἀντιφῶν ἐν τῷ περὶ ὁμονοίας.
(78) εὐήνιός ἐστι πρᾶος καὶ μέτριος καὶ μὴ ταραχώδης. ἡ μεταφορὰ ἀπὸ τῶν ἵππων. ἔστι τοὔνομα καὶ παρὰ Πλάτωνι ἐν τῇ ἐννάτῃ τῶν νόμων.

Εὐθίας. Ὑπερίδης ὑπὲρ Φρύνης. τῶν ἐπὶ συκοφαντίᾳ διαβεβλημένων ἦν ὁ Εὐθίας. τὸν μέντοι λόγον αὐτῷ τὸν κατὰ Φρύνης Ἀναξιμένην πεποιηκέναι φησὶν Ἕρμιππος.

Εὔθυναι, Λυσίας ἐν τῷ κατὰ Νικίου, εἰ γνήσιος. εὐθύνης ὄνομα ἀρχῆς παρ' Ἀθηναίοις. δέκα τὸν ἀριθ-

μὲν ἄνδρες ἦσαν, παρ' οἷς ἐδίδοσαν οἱ πρεσβεύσαντες, ἢ ἄρξαντες, ἢ διοικήσαντές τι τῶν δημοσίων, τὰς εὐθύνας. διείλεκται περὶ αὐτῶν Ἀριστοτέλης ἐν τῇ Ἀθηναίων πολιτείᾳ.

Εὐθύωρον, τὸ κατ' εὐθεῖαν. Ἀντιφῶν ἐν τῷ πρὸς Νικοκλέα. τὸ ὄνομα καὶ παρὰ Ξενοφῶντι ἐν δευτέρᾳ ἀναβάσεως.

Εὐμενίδες, Δημοσθένης ἐν τῷ κατ' Ἀριστοκράτους. Αἰσχύλος ἐν Εὐμενίσιν εἰπὼν τὰ παρὰ τὴν κρίσιν 132
τὴν Ὀρέστου, φησὶν, ὡς ἡ Ἀθηνᾶ πραΰνασα τὰς Ἐριννύας, ὥστε μὴ χαλεπῶς ἔχειν πρὸς τὸν Ὀρέστην, Εὐμενίδας ὠνόμασεν. εἰσὶ δὲ Ἀληκτὼ, Μέγαιρα καὶ Τισιφόνη.

Εὐνεῖδαι, Λυσίας ἐν τῷ κατὰ Τελαμῶνος, εἰ γνήσιος. γένος ἐστὶ παρ' Ἀθηναίοις οὕτως ὀνομαζόμενον Εὐνεῖδαι. ἦσαν δὲ κιθαρῳδοὶ, πρὸς τὰς ἱερουργίας παρέχοντες τὴν χρείαν.

Εὔξιθεος, Δημοσθένης ἐν τῷ ὑπὲρ Κτησιφῶντος. ὑπὸ τούτου φασὶν Ἠλείους προδοθῆναι.

Εὐοῖ, Δημοσθένης ἐν τῷ ὑπὲρ Κτησιφῶντος. βακχικόν τι ἐπίφθεγμά ἐστι τὸ εὐοῖ. Ἀριγνώτη δὲ, ὡς ὅτι τινὲς ἔλεξαν εὐοῖ ὡς εὖσοι, τὸ εὕρημα τοῦ κατόπτρου ἐπαινέοντες.

Εὐοφθάλμως, ἀντὶ τοῦ εὐπρεπῶς. Ἀντιφῶν ἐν τῷ περὶ Ταώνων.

Εὐρυβάτην. Αἰσχίνης κατὰ Κτησιφῶντος. Ἔφο- (79)
ρος ἐν τῇ ὀγδόῃ Εὐρυβάτην φησὶν ἄνδρα Ἐφέσιον καὶ λαβόντα χρήματα παρὰ Κροίσου, ὥστε στρατείαν συναγαγεῖν εἰς τὸν πόλεμον τὸν εἰς τοὺς Πέρσας, εἶτα προδότην γενόμενον ἐγχειρίσαι τὰ δοθέντα χρήματα τῷ Κύρῳ· καὶ ἐντεῦθεν τοὺς πονηροὺς Εὐρυβάτας κα- 133
λεῖσθαι.

Εὐρυμέδων, Λυκοῦργος ἐν τῷ κατὰ Λεωκράτους. τῆς Παμφυλίας οὗτος ποταμός ἐστιν, ἔνθα Κίμων Ἀθηναίων στρατηγὸς καὶ κατὰ γῆν καὶ κατὰ θάλατταν ἐνίκησε τοὺς Πέρσας, ὡς Θουκυδίδης ἐν τῇ πρώτῃ.

Εὐρυσάκειον, Ὑπερίδης ἐν τῷ πρὸς Ἀριστογείτονα. τέμενός ἐστιν Εὐρυσάκους τοῦ Αἴαντος ἐν Ἀθήναις, οὕτως ὀνομαζόμενον, ἐν Μελίτῃ.

Εὐσύμβολος, ἀντὶ τοῦ ῥαδίως καὶ εὖ συμβάλλων, τουτέστιν ἀγαθὸς συμβάλλειν, Ἀντιφῶν πολιτικῷ.

Εὐφραῖος, Δημοσθένης Φιλιππικῷ ἐννάτῳ. οὗτος Ὠρείτης ἦν τὸ γένος, μετέσχε δὲ καὶ τῆς Πλάτωνος διατριβῆς.

Εὐώνυμοι, Λυσίας ἐν τῷ κατὰ Φιλοκράτους. δῆμός ἐστι τῆς Ἐρεχθηΐδος, ὥς φησι Διόδωρος.

Ἔφεσις, ἡ ἐξ ἑτέρου δικαστηρίου εἰς ἕτερον μεταγωγή. τὸ δὲ αὐτὸ καὶ ἔκκλητος καλεῖται. Δημοσθένους λόγος ἐστὶν ἐπιγραφόμενος ἔφεσις πρὸς Εὐβουλίδην·
134 ἐν δὲ τῷ λόγῳ τούτῳ πολλάκις ἐστὶν ἡ ἔφεσις καὶ τὸ ἐφεῖναι ῥῆμα.

Ἔφεκτος τόκος, ὁ ἐπὶ τῷ ἕκτῳ τοῦ κεφαλαίου. Δημοσθένης ἐν τῷ ὑπὲρ Χρυσίππου.

Ἐφέται, Δημοσθένης ἐν τῷ κατ' Ἀριστοκράτους. οἱ δικάζοντες τὰς ἐφ' αἵματι κρίσεις ἐπὶ Παλλαδίῳ καὶ ἐπὶ Πρυτανείῳ καὶ ἐπὶ Δελφινίῳ καὶ ἐν Φρεαττοῖ ἐφέται ἐκαλοῦντο.

Ἐφ' ἱερὸν, Δημοσθένης ἐν τῷ περὶ τοῦ ἐπιτριηραρχήματος. ἱερόν ἐστι τῶν δώδεκα θεῶν ἐν Βοσπόρῳ, ὡς Τιμοσθένης ἐν τοῖς περὶ Λιμένων.

(80) Ἐφορία, ἡ ἐπὶ τῶν ὅρων γινομένη προαγόρευσις, ὡς Δημοσθένης διδάσκει ἐν τῷ κατ' Ἀριστοκράτους καὶ Θεόφραστος ἐν τρίτῃ νόμων.

Ἐφορμεῖν, ἀντὶ τοῦ ἐφεδρεύειν. τὸ μὲν γὰρ κατά τινων ὁρμᾶν ἐπιτηροῦντας καιρὸν ἐπιθέσεως οὕτως ἔλεγον. Δημοσθένης Φιλιππικοῖς.

Ἐχῖνος, ἔστι μὲν ἄγγος τι εἰς ὃ τὰ γραμματεῖα
135 τὰ πρὸς τὰς δίκας ἐτίθεντο. Δημοσθένης ἐν τῷ πρὸς Τιμόθεον μνημονεύει τοῦ ἄγγους τούτου καὶ Ἀριστοτέλης ἐν τῇ Ἀθηναίων πολιτείᾳ καὶ Ἀριστοφάνης Δα-

ναΐσιν. ἦν δὲ καὶ πόλις Ἐχῖνος, ἧς μνημονεύει Δημοσθένης ἐν πέμπτῳ Φιλιππικῶν.

Ἑωλοκρασία. Δημοσθένης ἐν τῷ ὑπὲρ Κτησιφῶντος· Αἴτιος οὗτος, ὥσπερ ἑωλοκρασίαν τινά μου τῆς πονηρίας τῆς ἑαυτοῦ κατασκεδάσας. Δίδυμος δὲ, οὗτος χθὲς καὶ πρώην ἃ ἐκέρασε πράγματα, τήμερόν μου κατέχει, καὶ ἐμὲ πρᾶξαί φησι.

Z.

Ζειρὰ, ἤτοι σειρὰ, ὥςτινες, ἦν ἔνδυμά τι, ὃ ἐπενδύοντο μετὰ τοὺς χιτῶνας, ὥσπερ ἐφαπτίδας. Λυσίας ἐν τῷ κατὰ Φιλίππου, εἰ γνήσιος. καὶ Ξενοφῶν ἐν ἕκτῃ ἀναβάσεως περὶ Θρᾳκῶν λέγων φησὶ, καὶ ζειρὰς μέχρι ποδῶν ἐπὶ τῶν ἵππων εἶχον, ἀλλ' οὐ χλαμύδας.

Ζεῦξις, Ἰσοκράτης περὶ τῆς ἀντιδόσεως. ἀριστοτέχνης τῶν κατ' ἐκεῖνον τὸν χρόνον ζωγράφων.

136 Ζηλοτυπεῖν, Αἰσχίνης ἐν τῷ κατὰ Κτησιφῶντος, ἀντὶ τοῦ μισεῖν. ζηλοῦν γὰρ τὸ μακαρίζειν· ζηλοτυποῦν τὸ εἰς ἀπέχθειαν ἐληλυθέναι.

Ζητητὴς, ἀρχή τις Ἀθήνησι, καὶ κατὰ καιροὺς καθισταμένη, εἴ ποτε τοὺς ἀδικοῦντάς τι δημοσίᾳ δέοι
(81) ζητεῖν. Δημοσθένης ἐν τῷ κατὰ Τιμοκράτους καὶ Ἀνδοκίδης ἐν τῷ περὶ ἐνδείξεως. οὗτος δὲ ὁ ῥήτωρ καὶ ζητητής ποτε ἐγένετο, ὥς φησι Λυσίας καὶ Ἰσοκράτης καὶ Πλάτων ὁ κωμικὸς Πρέσβεσιν.

H.

Ἡγεμονία δικαστηρίου, Αἰσχίνης κατὰ Κτησιφῶντος. ἄλλαι πρὸς ἄλλους τῶν ἀρχόντων ἐλαγχάνοντο δίκαι, τὰς δὲ ἀπενεχθείσας αἱ ἀρχαὶ κατὰ τὸν αὐτὸν ἑκάστη νόμον εἰσῆγον εἰς δικαστήριον, ἡγουμένη καὶ προεστῶσα, οἷον πρὸς μὲν τὸν ἄρχοντα αἱ τῶν ὀρφανῶν καὶ ἐπικλήρων, πρὸς δὲ τὸν βασιλέα αἱ τῆς ἀσεβείας, πρὸς δὲ τὸν πολέμαρχον τοῦ ἀποστασίου τε καὶ ἀπροστασίου, πρὸς δὲ τοὺς θεσμοθέτας αἱ τῆς ξενίας τε καὶ δωροξενίας καὶ συκοφαντίας καὶ δώρων 137 καὶ ψευδεγγραφῆς καὶ ὕβρεως καὶ μοιχείας καὶ βουλεύσεως καὶ ἄλλων.

Ἡγεμὼν συμμορίας, Δημοσθένης ἐν τῷ ὑπὲρ Κτησιφῶντος. ἡγεμὼν ἐκαλεῖτο συμμορίας ὁ προέχων τῷ πλούτῳ καὶ διὰ τοῦτο τῶν ἄλλων ἡγεμονεύειν ἐπειλημμένος, ὡς ὑποφαίνει Ὑπερίδης ἐν τῷ κατὰ Πολυεύκτου.

Ἡγήμων, Δημοσθένης ἐν τῷ ὑπὲρ Κτησιφῶντος. εἷς δὲ ἦν τῶν μακεδονιζόντων καὶ τῶν ἐπὶ δωροδοκίᾳ διαβεβλημένων.

Ἡγήσιππος, Δημοσθένης Φιλιππικῷ. οὗτος δέ ἐστιν ὁ Κρώβυλος ἐπικαλούμενος, οὗ δοκεῖ τισιν εἶναι ὁ ἕβδομος Φιλιππικὸς ἐπιγραφόμενος Δημοσθένους.

Ἡδύλειον, Δημοσθένης ἐν τῷ κατ' Αἰσχίνου. ὄρος ἐστὶν ἐν Βοιωτίᾳ τὸ Ἡδύλειον, ὡς καὶ Θεόπομπος ἐν τῇ εἰκοστῇ πέμπτῃ φησίν.

Ἢ ἐν ὁδῷ καθελών, ἀντὶ τοῦ ἐνεδρεύοντα (82) ἑλών, τουτέστιν ἔν τινι ἐνέδρᾳ καταβαλών. Δημοσθένης ἐν τῷ κατ' Ἀριστοκράτους.

Ἠετιώνεια, Ἀντιφῶν ἐν τῷ περὶ τῆς μεταστάσεως, οὕτως ἐκαλεῖτο ἥ γε παρὰ τοῦ Πειραιέως ἄκρα, 133

ἀπὸ τοῦ κατακτησαμένου τὴν γῆν Ἠετίωνος, ὥς φησι Φιλόχορος ἐν τῇ πρὸς Δήμωνα ἀντιγραφῇ. μνημονεύει δὲ τῆς Ἠετιωνείας καὶ Θουκυδίδης ἐν ὀγδόῃ.

Ἠκρωτηριασμένοι. Δημοσθένης ἐν τῷ ὑπὲρ Κτησιφῶντος· Ἠκρωτηριασμένοι τὰς ἑαυτῶν ἕκαστοι πατρίδας, ἀντὶ τοῦ λελυμασμένοι. οἱ γὰρ λυμαινόμενοί τινας εἰώθασι περικόπτειν αὐτῶν τὰ ἄκρα, ὡς καὶ Σοφοκλῆς Πολυξένῃ. τὸ μέντοι ἠκρωτηριασμένοι ἀντὶ τοῦ ἐνεργητικοῦ κεῖται τοῦ ἠκρωτηριακότες.

Ἡλιαία καὶ ἡλίασις. Ἡλιαία μέν ἐστι τὸ μέγιστον δικαστήριον τῶν ἐν Ἀθήνῃσιν, ἐν ᾧ τὰ δημόσια τῶν πραγμάτων ἐκρίνετο χιλίων δικαστῶν ἢ χιλίων καὶ πεντακοσίων συνιόντων. συνῄεσαν δὲ οἱ μὲν χίλιοι ἐκ δυοῖν δικαστηρίοιν, οἱ δὲ χίλιοι πεντακόσιοι ἐκ τριῶν. ἡλιάζεσθαι δὲ καὶ ἡλίασίς ἐστι τὸ ἐν Ἡλιαίᾳ δικάζειν. Λυσίας μὲν ἐν τῷ πρὸς Γλαύκωνα τὴν Ἡλιαίαν πολλάκις ὀνομάζει, ἐν δὲ τῷ κατὰ Φιλωνίδου, εἰ γνήσιος, τῷ ἡλιάζεσθαι ἐχρήσατο.

139 Ἡλικία. ἀντὶ τοῦ ἐν ἡλικίᾳ οἱ νέοι. Λυκοῦργος κατ' Ἀριστογείτονος καὶ Δημοσθένης Φιλιππικοῖς.

Ἡμίεκτον καὶ ἡμιμέδιμνον, Δείναρχος ἐν τῇ κατὰ Καλλισθένους εἰσαγγελίᾳ. τοῦ μεδίμνου ἔχοντος χοίνικας τεσσαράκοντα ὀκτώ, τὸ χωροῦν εἰκοσιτέσσαρας χοίνικας ἡμιμέδιμνόν ἐστιν, ἡμίεκτον δὲ τὸ χωροῦν τέτταρας χοίνικας τοῦ ἕκτου, ὅπερ ἐστὶ χοίνικες ὀκτώ, τὸ ἥμισυ.

Ἡμιολιασμός. Ἀντιφῶν πολιτικῷ. διπλασιασμοῦ καὶ ἡμιολίστου, ἀντὶ τοῦ τῶν ἡμιολίων ἐν τοῖς λογισμοῖς. ἡμιόλιος δ' ἐστὶν ἀριθμὸς ὁ ἔχων αὐτόν τε καὶ
(83) τὸ ἥμισυ αὐτοῦ, οἷον ὁ τρία πρὸς τὸν δύο. Ξενοφῶν γοῦν ἐν τῇ ἀναβάσει φησὶν ὅτι τοῖς στρατιώταις ἐποίησεν ἡμιόλιον τὸν μισθόν, ἀντὶ Δαρεικοῦ τρία ἡμιδαρεικά.

Ἤπειρον. σύνηθές ἐστι τῷ Ἰσοκράτει τὴν ὑπὸ τῷ βασιλεῖ τῶν Περσῶν γῆν οὕτω καλεῖν, ὥσπερ ἔν τε Φιλιππικῷ καὶ Ἀρχιδάμῳ.

Ἡράκλεια, Δημοσθένης ἐν τῷ κατ' Αἰσχίνου.
πολλῶν ὄντων τῶν κατὰ τὴν Ἀττικὴν Ἡρακλείων, νῦν 140
ἂν ὁ Δημοσθένης μνημονεύοι ἤτοι τῶν ἐν Μαραθῶνι,
ἢ τῶν ἐν Κυνοσάργει· ταῦτα γὰρ μάλιστα διὰ τιμῆς
εἶχον Ἀθηναῖοι.

Ἡραῖον τεῖχος, Δημοσθένης Φιλιππικοῖς. χωρίον ἐστὶν ἐν Θρᾴκῃ οὕτως ὀνομαζόμενον, ὑπὸ Σαμίων δὲ ᾠκίσθη, ὥς φησι Διονύσιος ἐν πέμπτῃ κτίσεων.

Ἠρία, Λυκοῦργος ἐν τῷ κατ' Αὐτολύκου. ἠρία εἰσὶν οἱ τάφοι, ὡς καὶ αὐτὸς ὁ ῥήτωρ δῆλον ποιεῖ. φασὶ δέ τινες κοινότερον μὲν πάντας τοὺς τάφους οὕτως ὀνομάζεσθαι, κατ' ἐξαίρετον δὲ τοὺς μὴ ἐν ὕψει τὰ οἰκοδομήματα ἔχοντας, ἀλλ' ὅταν τὰ σώματα εἰς γῆν κατατεθῇ· ὠνομάσθη δὲ παρὰ τὴν ἔραν.

Ἤιεμεν, ἀντὶ τοῦ ᾔδειμεν. Ἀντιφῶν ἐν τῇ πρὸς τὴν Καλλίου ἔνδειξιν ἀπολογίᾳ· Ἡμεῖς μὲν οὖν οὔτε ναυτικὸν ᾔεμεν ὁπόσου δέοι.

Ἠιτημένην, ἀντὶ τοῦ κεχρημένην. Δημοσθένης ἐν τῷ κατ' Εὐέργου, εἰ γνήσιος. ὅτι γὰρ αἰτεῖσθαι ἔλεγον τὸ κεχρῆσθαι, Μένανδρος ἐν τῷ Ὕμνιδι,

οὐ πῦρ γὰρ αἰτῶν, οὐ λοπάδ' αἰτούμενος.

Ἡφαιστία, Ὑπερίδης ἐν τῷ ὑπὲρ Ἀκαδήμου, ὅτι
δύο πόλεις ἦσαν τῆς Λήμνου, Μύρρινά τε καὶ Ἡφαι- 141
στία. δηλοῖ δὲ καὶ Διονύσιος ὁ Χαλκιδεὺς ἐν τρίτῃ
κτίσεων.

Ἠϊών, Δημοσθένης ἐν τῷ κατὰ Τιμοκράτους.
Ἠϊὼν πόλις Θρᾴκης, Μενδαίων ἀποικία, ὡς Θουκυδί- (84)
δης. Θεόπομπος δ' ἐν τῇ τετάρτῃ φησὶν ὡς Ἀθηναῖοι
ἐκβαλόντες ἐξ Ἠϊόνος Ἀμφιπολίτας κατέσκαψαν τὸ
χωρίον.

Θ.

Θαργήλια, Ὑπερίδης ἐν τῷ κατὰ Πολυεύκτου. ἑορτή ἐστι τὰ Θαργήλια· ἄγεται δὲ Θαργηλιῶνι μηνί, ὅς ἐστιν ἱερὸς Ἀπόλλωνος.

Θέμενος τὰ ὅπλα, ἀντὶ τοῦ περιθέμενος, καὶ ὁπλισάμενος. Δημοσθένης ἐν τῷ κατὰ Μειδίου, καὶ Ὅμηρος,

κρατὶ δ' ἐπ' ἰφθίμῳ κυνέην θέτο.

Αἰσχίνης κατὰ Τιμάρχου φησίν· Ἄνθρωπε, τῇ πόλει ὑπὲρ ἧς τὰ ὅπλα μὴ τίθεσαι.

Θεμιστεύειν, ἀντὶ τοῦ χρησμῳδεῖν. Λυσίας ἐν τῷ περὶ τῆς ἀμβλώσεως, εἰ γνήσιος. ὅτι δὲ γέγονε τὸ
142 ὄνομα ἀπὸ τοῦ Θέμιν ἐσχηκέναι ποτὲ τὸ μαντεῖον πρὸ τοῦ Ἡλίου, Αἰσχύλος ἀρχόμενος τῶν Εὐμενίδων φησίν.

Θεμίσων, Δημοσθένης ἐν τῷ ὑπὲρ Κτησιφῶντος. ὄνομα κύριον· οὗτος ἐτυράννησε.

Θεογείτων, Δημοσθένης ἐν τῷ αὐτῷ. ἔνιοι δὲ τοῦτον Θεογένην ὠνόμασαν, ὡς καὶ Δείναρχος ἐν τῷ κατὰ Δημοσθένους.

Θέογνις, Λυσίας ἐν τῷ κατ' Ἐρατοσθένους. οὗτος εἷς ἦν τῶν παρ' Ἀθηναίοις τριάκοντα τυράννων, καθά φασιν ἄλλοι τε καὶ Ξενοφῶν ἐν δευτέρῳ Ἑλληνικῶν. τοῦ δὲ ποιητοῦ Θεόγνιδος μνημονεύει Ἰσοκράτης ἐν ταῖς πρὸς Νικοκλέα ὑποθήκαις. οὗτος δ' ἦν Μεγαρεὺς ἀπὸ τῶν πρὸς τῇ Ἀττικῇ Μεγάρων. αὐτὸς γάρ φησιν ὁ ποιητής,

(85) ἦλθον μὲν γὰρ ἔγωγε καὶ εἰς Σικελήν ποτε γαῖαν.

ᾧ μὴ ἐπιστήσας Πλάτων ἐν πρώτῳ Νόμων [εἶπε] πολίτην τῶν ἐν Σικελίᾳ Μεγάρων. πόθεν γὰρ ἔφα-

σκεν εἰς Σικελίαν; κατηκολούθησαν δὲ τῷ Πλάτωνι οὐκ ὀλίγοι.

Θεοίνιον, Λυκοῦργος ἐν τῇ διαδικασίᾳ Κροκωνιδῶν πρὸς Κοιρωνίδας. τὰ κατὰ δήμους Διονύσια Θεοί- 143
νια ἐλέγετο, ἐν οἷς οἱ γεννηταὶ ἐπέθυον. τὸν γὰρ Διόνυσον Θέοινον ἔλεγον, ὡς δηλοῖ Αἰσχύλος καὶ Ἴστρος ἐν πρώτῳ Συναγωγῶν.

Θεοκρίνης. Δημοσθένης ἐν τῷ ὑπὲρ Κτησιφῶντος λοιδορούμενος Αἰσχίνῃ φησὶ, τραγικὸς Θεοκρίνης. βούλεται δὲ λέγειν αὐτὸν συκοφάντην, ἐπειδὴ ὁ Θεοκρίνης τοιοῦτος, ὡς ἔστι δῆλον ἐκ τοῦ κατὰ Θεοκρίνου, εἴτε Δημοσθένους ἐστὶν εἴτε Δεινάρχου οὗτος ὁ λόγος· τὸν γοῦν πάλαι μὲν ὑποκριτὴν τραγικὸν, ὕστερον δὲ συκοφάντην, εἰκότως ὠνόμασε τραγικὸν Θεοκρίνην.

Θεράπνη, Ἰσοκράτης Ἑλένῃ. τόπος ἐστὶν ἐν Λακεδαίμονι Θεράπνη, οὗ μνημονεύει καὶ Ἀλκμὰν ἐν πρώτῃ.

Θερμὰν, Αἰσχίνης ἐν τῇ παραπρεσβείας ἀπολογίᾳ. Θρᾴκιον τοῦτό ἐστι πόλισμα, ὡς καὶ Θεόπομπος ἐν εἰκοστῇ δευτέρᾳ φησίν.

Θερμοπύλαι, Ἰσοκράτης Πανηγυρικῷ. ἔνιοι μὲν τὴν πόλιν ταύτην Πύλας καλοῦσι· Φιλέας δέ φησιν ἐν γῆς περιόδῳ, Θερμοπύλας κληθῆναι, ἐπεὶ ἐκεῖ ἡ
Ἀθηνᾶ θερμὰ λουτρὰ τῷ Ἡρακλεῖ ἐποίησε. 144

Θέρσανδρος, Αἰσχίνης κατὰ Τιμάρχου. ὅτι παιδεραστὴς οὗτος σφοδρὸς καὶ Ἀριστογείτων ἐν τῷ κατὰ Τιμάρχου δηλοῖ.

Θέσθαι, ἀντὶ μὲν τοῦ ὑποθήκην λαβεῖν Ὑπερίδης ἐν τῷ πρὸς Ὑγιαίνοντα, ἀντὶ δὲ τοῦ προέσθαι καὶ
κυρῶσαι νόμον Δημοσθένης. ἐπὶ γὰρ τῶν νόμων λέγε- (86)
ται, ὡς ἔθηκε μὲν ὁ νομοθέτης, ἔθετο καὶ ὁ δῆμος. Δημοσθένης ἐν τῷ περὶ τῶν ἀτελειῶν· ἐν μέντοι τῷ κατὰ Στεφάνου φησὶν, Ἑαυτῷ νόμους ἰδίους θέμενον. μήποτε δὲ ἀντὶ τοῦ θέντα, θέμενον.

Θεσμός. ἐκαλεῖτο μὲν πάλαι καὶ εἷς ἕκαστος τῶν νόμων θεσμὸς, καὶ τὸ ὅλον δὲ τῆς πολιτείας σύνταγμα οὕτω κέκληκεν ὁ Δημοσθένης ἐν τῷ κατ' Ἀριστοκράτους.

Θεσμοθέται, Δημοσθένης κατ' Ἀνδροτίωνος. ἀρχή τίς ἐστιν Ἀθήνησιν ἡ τῶν θεσμοθετῶν ἓξ τὸν ἀριθμὸν ὄντων· εἰσὶ δὲ ἐκ τῶν καλουμένων ἐννέα ἀρχόντων. καλοῦνται δὲ οὕτως, ὅτι τῶν νόμων τὴν ἐπιμέλειαν εἶχον. θεσμοὶ δὲ ἐκαλοῦντο οἱ νόμοι, ὡς προείπομεν. ὅτι δὲ τοὺς νόμους οὗτοι διώρθουν κατ' ἐνιαυ-
145 τὸν ἕκαστον, εἴρηκεν Αἰσχίνης τε ἐν τῷ κατὰ Κτησιφῶντος καὶ Θεόφραστος ἐν τρίτῳ νόμων. ὁ δὲ Ἀριστοτέλης ἐν τῇ Ἀθηναίων πολιτείᾳ διέρχεται ὅσα οὗτοι πράττουσιν.

Θέτης. μήποτε θέτην λέγουσι τὸν ὑποθήκην τεθεικότα, οὐχ ὡς ὁ Δίδυμος τὸν εἰσποιησάμενον· θετοὺς γὰρ ἔλεγον, φησὶ, τοὺς εἰσποιητούς.

Θετταλὸς, Λυσίας κατὰ Νικίου. εἷς τῶν Κίμωνος παίδων Θετταλὸς ἐκαλεῖτο, ὥς φησιν Ἡλιόδωρος ἐν τῷ περὶ Ἀκροπόλεως.

Θευδοσίαν, Δημοσθένης ἐν τῷ περὶ τῶν ἀτελειῶν, ὅτι Σάτυρος Θευδοσίαν πολιορκῶν ἐτελεύτησεν. ἔστι δὲ χωρίον κείμενον ἐγγὺς Σκυθῶν.

Θεωρικὰ, Δημοσθένης Φιλιππικῷ. θεωρικὰ ἦν τινα ἐν κοινῷ χρήματα, ἀπὸ τῶν τῆς πόλεως προσόδων συναγόμενα. ταῦτα δὲ πρότερον μὲν εἰς τὰς τοῦ πολέμου χρείας ἐφυλάττετο καὶ ἐκαλεῖτο στρατιωτικὰ, ὕστερον δὲ κατετίθετο εἴς τε τὰς δημοσίας κατασκευὰς καὶ διανομὰς, ὧν πρῶτος ἤρξατο Ἀγύῤῥιος ὁ δημαγω-
(87)γός. Φιλόχορος δὲ ἐν τῇ τρίτῃ τῆς Ἀτθίδος φησί· τὸ
146 δὲ θεωρικὸν ἦν τὸ πρῶτον νομισθὲν δραχμὴ τῆς θέας, ὅθεν καὶ τοὔνομα ἔλαβε, καὶ τὰ ἑξῆς. Φιλῖνος δὲ ἐν τῇ πρὸς Σοφοκλέους καὶ Εὐριπίδου εἰκόνας περὶ Εὐβούλου λέγων φησίν· Ἐκλήθη δὲ θεωρικὸν, ὅτι τῶν Διονυσίων ὑπογύων ὄντων, διένειμεν Εὔβουλος εἰς τὴν θυσίαν, ἵνα πάντες ἑορτάζωσι καὶ τῆς θεωρίας μηδεὶς

τῶν πολιτῶν ἀπολίπηται δι' ἀσθένειαν τῶν ἰδίων. ἄλλοτε μέντοι ἄλλως ὡρίσθη τὸ διδόμενον εἴς τε τὰς θέας καὶ εἰς τὰς θυσίας καὶ ἑορτάς, ὡς ἔστι δῆλον ἔκ τε τοῦ ἐν πρώτῳ Φιλιππικῶν Δημοσθένους. ὅτι δὲ οὐκ ἐξῆν τοῖς ἀποδημοῦσι θεωρικὸν λαμβάνειν, Ὑπερίδης δεδήλωκεν ἐν τῷ κατ' Ἀρχεστρατίδου. ἦν δὲ ἀρχή τις ἐπὶ τοῦ θεωρικοῦ, ὡς Αἰσχίνης ἐν τῷ κατὰ Κτησιφῶντος δεικνύει.

Θεωροὶ μέντοι λέγονται οὐ μόνον οἱ θεαταί, ἀλλὰ καὶ οἱ εἰς θεοὺς πεμπόμενοι· καὶ ὅλως τοὺς τὰ θεῖα φυλάττοντας, ἢ τῶν θείων φροντίζοντας οὕτως ὠνόμαζον. ὤρην γὰρ ἔλεγον τὴν φροντίδα,

ὤρη γάρ τ' ὀλίγη πέλεται νεικέων τ' ἀγορέων τε.

Θεωρίς, Δημοσθένης ἐν τῷ κατ' Ἀριστογείτονος, 147
εἰ γνήσιος. μάντις ἦν ἡ Θεωρίς, καὶ ἀσεβείας κριθεῖσα ἀπέθανεν, ὡς καὶ Φιλόχορος ἐν ἕκτῃ γράφει.

Θημακεύς, Ἀνδοκίδης ἐν τῷ περὶ Μυστηρίων. δῆμός ἐστι φυλῆς τῆς Ἐρεχθηΐδος Θήμακος, ὥς φησι Διόδωρος ὁ περιηγητὴς ἐν τῷ περὶ τῶν Δήμων.

Θηραμένης, Λυσίας ἐν τῷ κατ' Ἐρατοσθένους, ὃς ἀνῃρέθη, κατηγορήσαντος αὐτοῦ Κριτίου ἐπὶ τῶν τριάκοντα.

Θησεῖον, Δημοσθένης ἐν τῷ ὑπὲρ Κτησιφῶντος. τέμενός ἐστιν ἀνειμένον τῷ Θησεῖ.

Θῆτες καὶ θητικόν. Ἀντιφῶν ἐν τῷ κατὰ Φιλίνου φησί· τούς τε θῆτας ἅπαντας ὁπλίτας ποιῆσαι. καὶ (88)
Δημοσθένης ἐν τῷ περὶ Ἁγνίου κλήρου· τῶν ἐπικλήρων ὅσαι θητικὸν τελοῦσιν. εἰς τέσσαρα διῃρημένης παρ' Ἀθηναίοις τῆς πολιτείας, οἱ ἀπορώτατοι ἐλέγοντο θῆτες, καὶ θητικὸν τελεῖν. οὗτοι δὲ οὐδεμιᾶς μετεῖχον ἀρχῆς, ὡς καὶ Ἀριστοτέλης δηλοῖ ἐν Ἀθηναίων πολιτείᾳ· ὅτι δὲ οὐκ ἐστρατεύοντο, εἴρηκε καὶ Ἀριστοφάνης ἐν Δαιταλεῦσιν. ὁ μέντοι Δημοσθένης ἐν τοῖς προκειμέ- 148
νοις ἐπικλήρους ὠνόμασε τὴν πενιχρὰν κόρην, ἣν θησ-

σαν ὀνομάζουσιν οἱ Ἀττικοί. ἐπάναγκες δὲ ἦν τοῖς ἔγγιστα γένους τὰς θήσσας ἢ λαμβάνειν πρὸς γάμον, ἢ πέντε μνᾶς διδόναι, ὡς καὶ Ποσείδιππός που ὁ κωμικός φησιν.

Θίασος, Δημοσθένης ἐν τῷ κατ' Αἰσχίνου. θίασός ἐστι τὸ ἀθροιζόμενον πλῆθος ἐπὶ τελετῇ καὶ τιμῇ θεῶν. Ξενοφῶν ἐν δευτέρῳ ἀπομνημονευμάτων. Ἴων δὲ ἐν Ὀμφάλῃ κοινῶς ἐπὶ παντὸς ἀθροίσματος ἔταξε τοὔνομα. θιασῶται δὲ ἐκαλοῦντο οἱ κοινωνοῦντες τῶν θιάσων. Ἰσαῖος ἐν τῷ περὶ Ἀστυφίλου κλήρου.

Θίμβρων, Ἰσοκράτης Πανηγυρικῷ. Λακεδαιμόνιος οὗτος ἦν πεμφθεὶς εἰς τὴν Ἀσίαν ἁρμοστὴς μετὰ τὰ Πελοποννησιακά.

Θόλος, Δημοσθένης ἐν τῷ κατ' Αἰσχίνου. ὁ τόπος ἔνθα ἐδείπνουν οἱ πρυτάνεις οὕτως ἐκαλεῖτο παρ' Ἀθηναίοις. Ἀμμώνιος ἐν τετάρτῃ περὶ βωμῶν γράφει ταυτί· ὁ δὲ τόπος ὅπου ἑστιῶνται οἱ πρυτάνεις καλεῖται θόλος, ὑπ' ἐνίων δὲ σκιάς, διὰ τὸ οὕτως ᾠκοδομῆσθαι αὐτὸν στρογγύλον, παρόμοιον θολίᾳ.

149 Θοραί, δῆμος τῆς Ἀντιοχίδος, ὥς φησι Διόδωρος.

Θόρικος, Ἰσαῖος ἐν τῷ κατὰ Ποσειδίππου. δῆμός ἐστι τῆς Ἀκαμαντίδος φυλῆς, ὡς ὁ αὐτὸς Διόδωρός φησιν ἐν τῷ περὶ τῶν δήμων.

Θριπηδέστατον, Ὑπερίδης ἐν τῷ κατὰ Δημά-
(89)δου, θριπηδέστατον τὴν Ἑλλάδα, ἀντὶ διεφθαρμένην, ἀπὸ τῶν ὑπὸ θριπῶν κατεδηδομένων ξύλων.

Θρόνιον, Αἰσχίνης ἐν τῷ περὶ τῆς παραπρεσβείας. πόλις ἐστὶ τῆς Λοκρίδος Θρόνιον, ὡς Θεόπομπος ἐν τῇ. . . .

Θυμοιτάδαι, δῆμος Ἱπποθοωντίδος, ἀπὸ Θυμοίτου τοῦ ἥρωος ὀνομασθείς, ὥς φησι Διόδωρος.

Θυργωνίδαι. Ἰσαῖος ἐν τῷ πρὸς Νικοκλέα. Νίκανδρος ὁ Θυατειρηνὸς ἐν τῷ περὶ τῶν δήμων, Μετετέθησαν, φησίν, ἐξ Αἰαντίδος Ἀφιδναῖοι, Περσίδαι, Τιτακίδαι, Θυργωνίδαι. φησὶ δὲ καὶ Δημήτριος ὁ Σκή-

ψιος ἐν δευτέρᾳ Διακόσμου τῆς Πτολεμαΐδος φυλῆς τὸν δῆμον εἶναι.

Θύστιον, Αἰσχίνης κατὰ Κτησιφῶντος. πόλις ἐστὶ
τῆς Αἰτωλίας, καθά φησι Δίδυμος ἐναγόμενος μαρτύ-
ριον ἐκ τῆς πρώτης Νικάνδρου τῶν Αἰτωλικῶν. ἡμεῖς 150
μέντοι ἐν τοῖς Ἀττικισμοῖς διὰ τοῦ τ Θύτιον εὕρομεν
γεγραμμένον.

I.

Ἴδιαν, ἀντὶ τοῦ ἰδιωτικὴν, Δημοσθένης ἐν τῷ κατὰ Κόνωνος. ἐλέγετο δὲ τὸ ἴδιον καὶ ἰδιωτικὸν, ὡς ὁ αὐτὸς ῥήτωρ ἐν τῷ πρὸς Ζηνόβιον.

Ἰδριεύς, Ἰσοκράτης Φιλιππικῷ. δυνάστης ἦν οὗτος ἐν Καρίᾳ, υἱὸς Ἑκατόμνου, ἀδελφὸς δὲ Μαυσώλου καὶ Ἀρτεμισίας.

Ἱέραξ, Δημοσθένης ἐν πρώτῳ Φιλιππικῷ. ὅτι ὁ Ἱέραξ εἷς ἦν τῶν ὑπ' Ἀμφιπολιτῶν πεμφθέντων πρέσβεων Ἀθήναζε, βουλομένων αὐτῶν Ἀθηναίοις παραδοῦναι καὶ τὴν πόλιν καὶ τὴν χώραν, εἴρηκε Θεόπομπος ἐν τρίτῳ Φιλιππικῶν.

Ἱερὰ ὁδός, Ἰσαῖος ἐν τῇ πρὸς Διοφάνην ἀπολο-
(90)γίᾳ. Ἱερὰ ὁδός ἐστιν, ἣν οἱ μύσται πορεύονται ἀπὸ
τοῦ ἄστεος ἐπ' Ἐλευσῖνα. βιβλίον οὖν ὅλον Πολέμωνι
151 γέγραπται περὶ τῆς Ἱερᾶς ὁδοῦ. μνημονεύει δ' αὐτῆς
Κρατῖνος ἐν Δραπέτισιν.

Ἱερὰ τριήρης, Δημοσθένης ἐν τετάρτῳ Φιλιππικῶν· Καὶ τὴν ἱερὰν ἀπὸ τῆς χώρας ᾤχετ' ἔχων τριήρη. λέγοι ἂν τὴν Πάραλον, ὡς συνιδεῖν ἔστιν ἔκ τε τῆς Φιλοχόρου καὶ ἐκ τῆς Ἀνδροτίωνος ὁμοίως ἕκτης.

Ἱερομηνία, Δημοσθένης κατὰ Τιμοκράτους. αἱ ἑορτώδεις ἡμέραι ἱερομηνίαι καλοῦνται.

Ἱερομνήμονες, Δημοσθένης ὑπὲρ Κτησιφῶντος. οἱ πεμπόμενοι εἰς τὸ τῶν Ἀμφικτυόνων συνέδριον ἐξ ἑκάστης πόλεως τῶν τοῦ συνεδρίου μετεχουσῶν οὕτω καλοῦνται, ὡς σαφὲς ποιεῖ Θεόπομπος ἐν τῇ τριακοστῇ.

Ἱεροφάντης. Ὑπερίδης φησί που· Ἐγὼ δὲ οὔτε δᾳδούχου θυγατέρα ἔχω οὔτε ἱεροφάντου. Δείναρχος

ἐν τῇ Κροκωνιδῶν διαδικασίᾳ ὀνομάσθαι φησὶ τὸν πρῶτον ἱεροφάντην τὸν ἀποφήναντα ἐκ τοῦ πολέμου ἐπιόντα τὰ ἱερά. περὶ δὲ τοῦ γένους τῶν ἱεροφαντῶν δεδήλωκεν Ἑλλάνικος ἐν δευτέρᾳ Ἀτθίδος.

Ἱερώνυμος, Λυσίας ἐν τῷ πρὸς Ἱπποθέρσην: Ἱερωνύμου τοῦ στρατηγήσαντος Ἀθηναίων ἄλλοι τε μνη- 152
μονεύουσι καὶ Ἔφορος ἔν τε τῇ ὀγδόῃ καὶ δεκάτῃ καὶ ἐν τῇ ἐννάτῃ καὶ δεκάτῃ. ἕτερος δ' ἐστὶν Ἱερώνυμος Μεγαλοπολίτης, οὗ μνημονεύει Δημοσθένης ἐν τῷ κατ' Αἰσχίνου. ὅτι δ' οὗτος ἦν τῶν μακεδονιζόντων μάλιστα καὶ Θεόπομπος εἴρηκεν ἐν τῇ πεντηκοστῇ πρώτῃ.

Ἰθύφαλλοι. Ὑπερίδης ἐν τῷ κατ' Ἀρχεστρατίδου, οἱ τοὺς ἰθυφάλλους ἐν τῇ ὀρχήστρᾳ ὀρχούμενοι. ποιήματά τινα οὕτως ἐλέγετο ἐπὶ τῷ φαλλῷ ᾀδόμενα, ὡς Λυγκεὺς ἐν ταῖς Ἐπιστολαῖς φησι. Δημοσθένης δὲ ἐν τῷ κατὰ Κόνωνος ἐπὶ ἐπωνύμου τεθειμένου τισὶ κατὰ παιδιὰν ἔταξεν αὐτό. ἐλέγετο δὲ κυρίως ἰθύφαλ- (91)
λος τὸ ἐντεταμένον αἰδοῖον, ὡς Κρατῖνος ἐν Ἀρχιλόχοις.

Ἰκαριεύς, Ἰσαῖος ἐν τῷ κατ' Ἐλπαγόρου καὶ Δημοφάνους. δῆμός ἐστι φυλῆς τῆς Αἰγηΐδος, ὥς φησι Διόδωρος.

Ἱκετηρία, Αἰσχίνης ἐν τῇ ἀπολογίᾳ. ἱκετηρία καλεῖται ἐλαίας κλάδος στέμματι ἐστεμμένος.

Ἰόνιος. Λυσίας ἐν Ὀλυμπιακῷ. τὸν Ἀδρίαν καλούμενον οὕτως ὠνόμαζον ἐνίοτε οἱ παλαιοί. Ἐπί- 153
δαμνός ἐστι πόλις ἐς δεξιὰ ἐσπλέοντι τὸν Ἰόνιον κόλπον, Θουκυδίδης ἐν πρώτῃ.

Ἰπνός, Λυκοῦργος ἐν τῷ κατὰ Λυκόφρονος πρώτῳ. μέρος τι τῆς οἰκίας οὕτω καλεῖται, τὸ λεγόμενον παρ' ἡμῖν μαγειρεῖον. ἔστι γοῦν δρᾶμα Φερεκράτει Ἰπνὸς ἢ Παννυχίς, ἐν ᾧ δηλοῦται τοῦτο, ὅτι μέρος τῆς οἰκίας ἐστί. λέγεται δὲ κυρίως ἰπνὸς ἡ κάμινος· ὅθεν καὶ ἰπνοπλάθους τινὰς ὀνομάζουσιν.

Ἵππαρχος, Δημοσθένης ἐν τῷ κατὰ Κτησιφῶντος. τύραννος ἦν οὗτος Ἐρετρίας. ἕτερος δ' ἐστὶν Ἵπ-

παρχος περὶ οὗ Λυκοῦργος ἐν τῷ κατὰ Λυκόφρονός φησιν, Ἵππαρχος ὁ Πεισιστράτου. ἄλλος δέ ἐστιν Ἵππαρχος ὁ Χάρμου, ὥς φησι Λυκοῦργος ἐν τῷ κατὰ Λεωκράτους. περὶ δὲ τούτου Ἀνδροτίων ἐν τῇ δευτέρᾳ φησὶν, ὅτι συγγενὴς μὲν ἦν Πεισιστράτου τοῦ τυράννου καὶ πρῶτος ἐξωστρακίσθη, τοῦ περὶ τὸν ὀστρακισμὸν νόμου τότε πρῶτον τεθέντος, διὰ τὴν ὑποψίαν τῶν περὶ Πεισίστρατον, ὅτι δημαγωγὸς ὢν καὶ στρατη-
154 γὸς ἐτυράννησεν. ἄλλος δ' ἐστὶν Ἵππαρχος ὑποκριτής, οὗ μνημονεύει Δημοσθένης ἐν τῷ κατὰ Νεαίρας, εἰ γνήσιος. λέγεται δὲ παρ' Ἀθηναίοις ἵππαρχος καὶ ὁ τῶν ἱππέων ἄρχων. δύο δ' ἦσαν οὗτοι, ὡς Δημοσθένης ἐν τετάρτῳ Φιλιππικῶν φησι καὶ Ἀριστοτέλης ἐν Ἀθηναίων πολιτείᾳ.

Ἱππάς, Ἰσαῖος ἐν τῷ περὶ τοῦ Ἀπολλοδώρου κλή-
(92) ρου· Ἀπεγράψατο μὲν τίμημα μικρὸν, ὡς ἱππάδα τελῶν. Ἀριστοτέλης δ' ἐν Ἀθηναίων πολιτείᾳ φησὶν ὅτι Σόλων εἰς τέτταρα διεῖλε τέλη τὸ πᾶν πλῆθος Ἀθηναίων, Πεντακοσιομεδίμνους καὶ Ἱππέας καὶ Ζευγίτας καὶ Θῆτας.

Ἱππία Ἀθηνᾶ, Ἰσαῖος ἐν τῷ πρὸς Καλυδῶνα. Μνασέας ἐν πρώτῃ Εὐρώπης τὴν ἱππίαν Ἀθηνᾶν Ποσειδῶνός εἶναί φησι θυγατέρα καὶ Κορύφης τῆς Ὠκεανοῦ, ἅρμα δὲ πρώτην κατασκευάσασαν, διὰ τοῦτο ἱππίαν κεκλῆσθαι.

Ἱπποδάμεια, Δημοσθένης ἐν τῷ πρὸς Τιμόθεον. ἀγορὰν φασιν εἶναι ἐν Πειραιεῖ, καλουμένην Ἱπποδά-
155 μειαν, ἀπὸ Ἱπποδάμου Μιλησίου ἀρχιτέκτονος τοῦ οἰκοδομησαμένου τοῖς Ἀθηναίοις τὸν Πειραιᾶ.

Ἴσα βαίνων Πυθοκλεῖ, Δημοσθένης ἐν τῷ κατ' Αἰσχίνου, ἀντὶ τοῦ συνὼν ἀεὶ καὶ μηδὲ βραχὺ ἀφιστάμενος. καὶ ἐν τῷ κατὰ Στεφάνου πρώτῳ φησὶν, Ἀριστολόχῳ τῷ τραπεζίτῃ ἴσα βαίνων ἐβάδιζε. Μένανδρος,

παρ' αὐτὸν ἴσα βαίνουσα ἑταίρα πολυτελής.

Ἴσαι ψῆφοι, Αἰσχίνης κατὰ Κτησιφῶντος· Ἕτερος δὲ πλεύσας ἰδιώτης εἰς Ῥόδον, ὅτι τὸν φόβον ἀνάν-

δρος ἤνεγκε, πρώην μέν ποτε εἰσηγγέλθη, καὶ ἴσαι αἱ ψῆφοι αὐτῷ ἐγένοντο. εἰ δὲ μία ψῆφος μετέπεσεν, ὑπερώριστο ἂν καὶ ἀπέθανεν.

Ἰσαῖος. εἷς ἐστι τῶν δέκα ῥητόρων οὗτος, μαθητὴς δ' ἦν Ἰσοκράτους, διδάσκαλος δὲ Δημοσθένους, Ἀθηναῖος τὸ γένος, καθά φησιν Ἕρμιππος ἐν δευτέρῳ περὶ τῶν Ἰσοκράτους μαθητῶν. Δημήτριος δ' ἐν τοῖς περὶ ὁμωνύμων ποιητῶν Χαλκιδέα φησὶν αὐτὸν εἶναι.

Ἰσμηνίας, Λυσίας ἐν τῷ κατὰ Θρασυβούλου, εἰ γνήσιος. εἷς τῶν παρ' Ἀθηναίοις ἦν πολέμαρχος(93) ἐπιφανής. 156

Ἰσοδαίτης, Ὑπερίδης ἐν τῷ ὑπὲρ Φρύνης, ξενικός τις δαίμων, ᾧ τὰ δημώδη γύναια καὶ μὴ πάνυ σπουδαῖα ἐτέλει.

Ἰσοτελὴς καὶ ἰσοτέλεια, Ἰσαῖος ἐν τῷ κατ' Ἐλπαγόρου. πολλάκις τιμή τις διδομένη τοῖς ἀξίοις φανεῖσι τῶν μετοίκων, καθ' ἣν καὶ ἡ τοῦ μετοικίου ἄφεσις αὐτοῖς ἐγίγνετο, ὡς Λυσίας ἐν τῷ πρὸς Σώστρατον ὕβρεως, εἰ γνήσιος. ὅτι δὲ καὶ τῶν ἄλλων ὧν ἔπραττον οἱ μέτοικοι ἄφεσιν εἶχον οἱ ἰσοτελεῖς, Θεόφραστος εἴρηκεν ἐν ἑνδεκάτῃ τῶν νόμων. οὗτος δέ φησιν ὡς ἐνιαχοῦ καὶ πόλεσιν ὅλαις ἐψηφίζοντο τὴν ἀτέλειαν Ἀθηναῖοι, ὥσπερ Ὀλυνθίοις τε καὶ Θηβαίοις. ἔστι δὲ μαθεῖν ἐκ τοῦ προγεγραμμένου Ἰσαίου λόγου, καὶ ὅσα ἐτέλει ὁ ἰσοτελής.

Ἴσχανδρος, Δημοσθένης κατ' Αἰσχίνου. τραγικὸς ὑποκριτὴς ὁ Ἴσχανδρός ἐστι. δοκεῖ δ' αὐτῷ συνυποκρινόμενος Αἰσχίνης ὁ ῥήτωρ ἐν Κολυττῷ καταπεσεῖν, καθά φησιν Δημοχάρης ἐν τοῖς Διαλόγοις.

Ἰτεαῖος, Λυσίας ἐν τῷ κατὰ Νικίου. δῆμός ἐστι
τῆς Ἀκαμαντίδος Ἰτέα, ἀφ' ἧς ὁ δημότης Ἰτεαῖος, ὡς 157
φησι Διόδωρος.

Ἴων, Ἰσοκράτης ἐν τῷ περὶ τῆς ἀντιδόσεως. Ἴωνος τοῦ τῆς τραγῳδίας ποιητοῦ μνημονεύοι ἂν νῦν ὁ ῥήτωρ, ὃς ἦν Χῖος μὲν γένος, υἱὸς δὲ Ὀρθομένους, ἐπί-

κλησιν δὲ Ξούθου. ἔγραψε δὲ μέλη πολλὰ καὶ τραγῳδίας καὶ φιλόσοφόν τι σύγγραμμα τὸν Τριαγμὸν ἐπιγραφόμενον, ὅπερ Καλλίμαχος ἀντιλέγεσθαί φησιν ὡς Ἐπιγένους· ἐν ἐνίοις δὲ καὶ πληθυντικῶς ἐπιγράφεται Τριαγμοί, καθὰ Δημήτριος ὁ Σκήψιος καὶ Ἀπολλωνίδης ὁ Νικαεύς. ἀναγράφουσι δὲ ἐν αὐτῷ τάδε· Ἀρχὴ δέ μοι τοῦ λόγου πάντα τρία, καὶ πλέον τοῦδε, πλέον ἐλάσσων τούτων τριῶν ἑνὸς, ἑκάστου ἀρετὴ τριὰς, Σύνεσις καὶ Κράτος καὶ Τύχη.

(94) Ἰωνία χώρα. καὶ Ἰωνίας πόλεις δώδεκα, Ἔφεσος, Ἄνδροκλος, Μίλητος, Μυοῦς, Πριήνη, Κολοφῶν, Τέως, Λέβεδος, Ἐρυθραὶ, Φώκαια, Κλαζομεναὶ, Σάμος.

Ἰωνικὸς, Ἑλληνικὸς, Ἀθηναῖοις, ἀρχαῖος· καὶ Ἰωνικῶς ἀντὶ τοῦ ἁβρῶς, τρυφερῶς. Ἀριστοφάνης ἐν Θεσμοφοριαζούσαις,

ἐμιτροφόρουν τε καὶ διεκίνουν Ἰωνικῶς.

K.

Καβύλη, Δημοσθένης ἐν ὀγδόῳ Φιλιππικῶν. χωρίον ἐστὶ τῆς Θρᾴκης, ὥς φησι Θεόπομπός τε ἐν τῇ τεσσαρακοστῇ ἑβδόμῃ καὶ Ἀναξιμένης ἐν ὀγδόῳ Φιλιππικῶν. οὗτος δέ φησιν αὐτὸ ἱδρύσασθαι πρὸς τῷ Τάξῳ ποταμῷ κατὰ μέσον τῆς Θρᾴκης. 158

Καδίσκος, Ἰσαῖος ἐν τῷ περὶ τοῦ Ἁγνίου κλήρου. ἀγγεῖόν τι εἰς ὃ ἐψηφοφόρουν οἱ δικασταὶ οὕτως ἔλεγον. Φρύνιχος Μούσαις,

ἰδού, δέχου τὴν ψῆφον, ὁ καδίσκος δέ σοι
ὁ μὲν ἀπολύων οὗτος, ὁ δ' ἀπολλὺς ὁδί.

Καδμεία, Ἰσοκράτης Πανηγυρικῷ, τῆς Καδμείας καὶ οἱ ἄλλοι ῥήτορες πολλάκις μνημονεύουσι. λέγεται δὲ οὕτως ἡ τῶν Θηβαίων ἀκρόπολις, ὡς παρὰ πᾶσι σχεδὸν τοῖς ἱστορικοῖς ὡμολόγηται.

Καθάρσιον, Αἰσχίνης κατὰ Τιμάρχου. ἔθος ἦν Ἀθήνησι καθαίρειν τὴν ἐκκλησίαν καὶ τὰ θέατρα καὶ ὅλως τὰς τοῦ δήμου συνόδους μικροῖς πάνυ χοιριδίοις, ἅπερ ὠνόμαζον καθάρσια. τοῦτο δ' ἐποίουν οἱ λεγόμενοι περιστίαρχοι, οἵπερ ὠνομάσθησαν οὕτως ἤτοι ἀπὸ τοῦ περιστείχειν ἢ ἀπὸ τῆς Ἑστίας. 159 (95)

Καθελών. Δημοσθένης ἐν τῷ κατ' Ἀριστοκράτους φησίν· ἢ ἐν ὁδῷ καθελών, ἀντὶ τοῦ ἀνελών, ἢ ἀποκτείνας. ἐχρήσαντο δὲ οὕτω τῷ ὀνόματι καὶ ἄλλοι, ὡς καὶ Στησίχορος ἐν Ἰλίου πέρσει καὶ Σοφοκλῆς ἐν Εὐμήλῳ.

Καθήκοντα. Δημοσθένης ἐν δεκάτῳ Φιλιππικῶν φησιν, Ὅστις οὐκ ἠξίου τὰ καθήκοντα ἐφ' ἑαυτὸν ποιεῖν, ἀντὶ τοῦ τὰ ἥκοντα ἐφ' ἑαυτόν.

Κάθετος, ὁ καθιέμενος εἰς τὸ πέλαγος ἄμνος. Λυσίας ἐν τῷ κατὰ Τελαμῶνος. διείλεκται περὶ τοῦ καθέτου Μελίτων ἐν πρώτῳ περὶ τῶν ἐν Ἀθήνησι Γενῶν.

Καὶ γὰρ τὸ μηδένα τῶν μαχίμων ἄνευ τῆς τῶν ἀρχόντων γνώμης ἀποδημεῖν. Ἰσοκράτους ἐν τῷ Βουσίριδι περὶ Λακεδαιμονίων ταῦτα λέγοντος ῥητέον ὅτι καὶ οἱ τὰς Λακεδαιμονίων πολιτείας γεγραφότες τὰ ὅμοια εἰρήκασιν. ὁ δὲ Ἀριστοτέλης οὐκ ἐξεῖναί φησιν ἀποδημεῖν τοῖς Λακεδαιμονίοις, ὅπως
160 μηδὲ ἐθίζωνται ἄλλων νόμων εἶναι φίλοι. τοῦ μέντοι Ἰσοκράτους τοὺς μαχίμους μόνους λέγοντος κωλύεσθαι ἀποδημεῖν, οἱ περὶ Ἀριστοτέλην τοὺς πάντας Λακεδαιμονίους φασίν.

Καινῶς, Ἰσοκράτης Πανηγυρικῷ. οἷον ὡς τοῖς νεωτέροις ἁρμόττειν πράγμασιν. Ἔφορος δὲ τρόπον τινὰ ἐξηγήσατο αὐτὸ ἐν τῇ πρώτῃ.

Κακοτεχνιῶν, δίκης ὄνομα, ἣν οἱ ἑλόντες τινὰ ψευδομαρτυριῶν κατὰ τοῦ παρασχομένου αὐτοῦ ἐδίδοσαν. Δημοσθένης ἐν τῷ κατὰ Τιμοθέου τίσεως, εἰ γνήσιος, καὶ ἐν τῷ κατ' Εὐέργου καὶ Μνησιβούλου.

Κακῶς εἰδότες, ἀντὶ τοῦ ἀγνοοῦντες. Ἰσοκράτης περὶ εἰρήνης.

Κακώσεως, δίκης ὄνομά ἐστι ταῖς τε ἐπικλήροις κατὰ τῶν γεγαμηκότων καὶ κατὰ τῶν παίδων τοῖς γο-
(96) νεῦσι καὶ κατὰ τῶν ἐπιτρόπων τοῖς ὑπὲρ τῶν ὀρφανῶν. Δημοσθένης κατὰ Τιμοκράτους καὶ Λυσίας ἔν τε τῷ περὶ τοῦ Ἡγησάνδρου κλήρου καὶ [Ὑπερίδης] ἐν τῷ ὑπὲρ τοῦ Πυράνδρου κλήρου. ὅτι δὲ ἐξῆν καὶ παντὶ τῷ βουλομένῳ γράφεσθαι κακώσεως γονέων καὶ ταῖς
161 ἐπικλήροις βοηθεῖν, δηλοῦται ἔν τε τῷ προειρημένῳ λόγῳ Ὑπερίδου καὶ ἐν τῷ Λυσίου κατὰ Φιλωνίδου βιαίων, εἰ γνήσιος· ἦν δὲ καὶ ἄνευ ὕδατος.

Καλαύρεια, Δημοσθένης ἐν τῇ περὶ τῆς ἑαυτοῦ καθόδου ἐπιστολῇ. νῆσός ἐστι πλησίον Τροιζῆνος, ὡς Ἑκαταῖος ἐν περιόδῳ τῆς γῆς ἔφη. ἐκαλεῖτο δὲ πρότερον Εἰρήνη ἡ Καλαύρεια, καθά φησιν Ἀντικλείδης.

Κανηφόροι. Λυκοῦργος ἐν τῷ κατὰ Λυκόφρονος περὶ τῶν κανηφόρων. Φιλόχορος ἐν δευτέρᾳ Ἀτθίδος φησὶν ὡς Ἐριχθονίου βασιλεύοντος πρῶτον κατέστησαν αἱ ἐν ἀξιώματι παρθένοι φέρειν τὰ κανᾶ τῇ θεῷ, ἐφ' οἷς ἐπέκειτο τὰ πρὸς τὴν θυσίαν, τοῖς τε Παναθηναίοις καὶ ταῖς ἄλλαις πομπαῖς.

Καρκίνος, Λυσίας ἐν τῇ περὶ τοῦ κυνὸς ἀπολογίᾳ, εἰ γνήσιος· ἐλυμαίνοντο γάρ μου τὸν καρκίνον εἰσφοιτῶσαι αἱ κύνες. καὶ ὅταν ὁ σῖτος ῥιζωθῇ κατὰ τῆς γῆς, κεκαρκινῶσθαί φασι. Φερεκράτης Αὐτομόλοις,

ὁπόταν σχολάζῃς, νῆψον, ἵνα τὰ λήϊα
συγκαρκινωθῇ.

λέγεται καρκίνος καὶ πάθος τι συμβαῖνον ἐν τοῖς σώμα- 162
σιν, ὃ νῦν καρκίνωμα καλοῦσιν. ἔστι δὲ καὶ κύριον ὄνομα, οὗ μνημονεύει Ἰσοκράτης Τραπεζιτικῷ. εἴη δ' ἂν οὗτος ὁ Ἀθηναίων στρατηγὸς, πεμφθεὶς περιπλεῦσαι Πελοπόννησον. περὶ δὲ τῆς τραγῳδίας ποιητοῦ, τοῦ Ξενοκλέους υἱοῦ, Λυσίας ἐν τῷ πρὸς Μνησίμαχόν φησι. συντίθεται δὲ τούτοις καὶ Καρκίνος ὁ ποιητὴς εἰπών,

οὐ κεῖνος ἐξέστησε, τὰς γὰρ ἐμφύτους (97)
ὀρθῶς παγείσας μὲν φρένας
οὐδεὶς ἐπαίρει καιρὸς ἐξαμαρτάνειν.

Καρποῦ δίκη. Λυσίας ἐν τῷ κατὰ Δημοσθένους ἐπιτροπῆς, εἰ γνήσιος· Εἰ γάρ τι ἐγκαλεῖς τῷδε τῷ μειρακίῳ καὶ τῶν σῶν τι ἔχει, δίκασαι αὐτῷ κατὰ τοὺς νόμους· εἰ μὲν χωρίου ἀμφισβητεῖς, καρποῦ· εἰ δὲ οἰκίας, ἐνοικίου, ὥσπερ οὗτός σοι νῦν ἐπιτροπῆς δικάζεται.

Καρύανδα, Δείναρχος ἐν τῷ κατὰ Πολυεύκτου. ἔστι δὲ πόλις τῆς Καρίας.

Καταβολή. Δημοσθένης ἐν ἐνάτῳ Φιλιππικῶν· Ὥσπερ περίοδος ἢ καταβολὴ πυρετοῦ. ἐν ταῖς περιοδι- 163
καῖς νόσοις λέγεταί τις καταβολὴ, διὰ τὸ ἐν ἀποδεδειγμένῳ προϊέναι χρόνῳ, καθάπερ οἱ ἐρανισταὶ τὰς καταβολὰς ποιοῦνται τῶν χρημάτων.

Καταδεδέσθαι, ἀντὶ τοῦ πεφαρμακεῦσθαι καὶ δεδέσθαι φαρμάκοις. Δείναρχος ἐν τῇ κατὰ Πυθέου εἰσαγγελίᾳ.

Κατὰ δήμους δικαστάς, Δημοσθένης ἐν τῷ κατὰ Τιμοκράτους. περὶ τῶν κατὰ δήμους δικαστῶν, ὡς πρότερον μὲν ἦσαν τριάκοντα καὶ κατὰ δήμους περιιόντες ἐδίκαζον, εἶτα ἐγένοντο τεσσαράκοντα, εἴρηκεν Ἀριστοτέλης ἐν τῇ πολιτείᾳ.

Καταδικασάμενος, ἀντὶ τοῦ νικήσας καὶ καταδικασθῆναί τινα ποιήσας. Ἰσαῖος ἐν τῷ κατὰ Διοκλέους ὕβρεως.

Κατάγειν τὰ πλοῖα, Δημοσθένης ἐν ὀγδόῳ Φιλιππικῶν. κατάγειν τὰ πλοῖα λέγεται ἀντὶ τοῦ ληΐζεσθαι καὶ κακοῦν καὶ μὴ ἐᾶν τοὺς πλέοντας ὅπου βούλονται πλεῖν, ἀλλ' εἰς τὰ οἰκεῖα χωρία τοῖς λῃστεύουσι κατάγειν, ὡς καὶ Λυκοῦργος ἐν τῷ κατὰ Λεωκράτους δηλοῖ.

164 **Κατάστασις**. Λυσίας· ψηφίσασθαι δὲ τοὺς φυλάρ-
(98) χους ἀπενεγκεῖν τοὺς ἱππεύσαντας, ἵνα τὰς καταστάσεις ἀναπράξητε παρ' αὐτῶν. ἔοικεν ἀργύριον εἶναι ὅπερ οἱ κατασταθέντες ἱππεῖς ἐλάμβανον ἐκ τοῦ δημοσίου ἐπὶ τῇ καταστάσει, ὥσπερ αὐτὸς ὁ ῥήτωρ ἐν τοῖς ἑξῆς ὑποσημαίνει. παρεμφαίνει τοῦτο καὶ Εὔπολις Φίλοις,

οὐκ ἐσωφρόνησας, ὦ πρεσβῦτα, τὴν κατάστασιν
τήνδε λαμβάνων ἄφνω, πρὶν καὶ μαθεῖν τὴν ἱππικήν.

ἔτι δὲ σαφέστερον λέγεται ἐν τῷ Σύρφακι Πλάτωνος. ἀπεδίδοτο δὲ τὸ ἀργύριον ὑπὸ τῶν ἱππευσάντων ὅταν ἀντ' αὐτῶν ἕτεροι καθίσταντο· ἀπῄτουν δὲ αὐτὸ οἱ φύλαρχοι.

Κατὰ τὴν ἀγορὰν ἀψευδεῖν. Ὑπερίδης ἐν τῷ κατ' Ἀθηνογένους πρώτῳ. ὁ μὲν τοίνυν νόμος κελεύει ἀψευδεῖν ἐν τῇ ἀγορᾷ· ἔοικεν ὁ νόμος περὶ τῶν ὠνίων κεῖσθαι. Θεόφραστος γοῦν ἐν τοῖς περὶ νόμων φησί, δυοῖν τούτων ἐπιμελεῖσθαι δεῖν τοὺς ἀγορανόμους, τῆς τε ἐν τῇ ἀγορᾷ εὐκοσμίας καὶ τοῦ ἀψευδεῖν μὴ μόνον τοὺς πιπράσκοντας, ἀλλὰ καὶ τοὺς ὠνουμένους.

Κατατομή. Ὑπερίδης ἐν τῷ κατὰ Δημοσθένους· 165 Καὶ καθήμενος κάτω ὑπὸ τῇ κατατομῇ. Φιλόχορος δὲ ἐν ἕκτῃ οὕτως· Αἰσχραῖος Ἀναγυράσιος ἀνέθηκε τὸν ὑπὲρ θεάτρου τρίποδα καταργυρώσας, νενικηκὼς τῷ πρότερον ἔτει χορηγῶν παισὶ, καὶ ἐπέγραψεν ἐπὶ τὴν κατατομὴν τῆς πέτρας.

Καταπλὴξ, ὁ συνεχῶς πεπληγμένος. Λυσίας ἐν τῷ πρὸς Αἰσχίνην τὸν Σωκρατικὸν, ἐν τῷ κατ' Ἀνδοκίδου ἀσεβείας, εἰ γνήσιος ὁ λόγος. Θεόπομπος Τισαμένῳ,

ἀλλ' ἡ μὲν Εἰλείθυια συγγνώμην ἔχει
ὑπὸ τῶν γυναικῶν οὖσα καταπλὴξ τὴν τέχνην.

Καταχύσματα, Δημοσθένης ἐν τῷ κατὰ Στεφά- (99) νου πρώτῳ. ὅτι τῶν νεωνήτων οἱ δεσπόται τραγήματα κατέχεον, Ἀριστοφάνης ἐν Πλούτῳ δηλοῖ· ὅτι δὲ καὶ τῶν ἀπὸ θεωρίας καὶ τῶν νυμφίων, ὡς Θεόπομπος Ἡδυχάρει.

Καταχειροτονία. ἔθος ἦν Ἀθήνησι κατὰ τῶν ἀρχόντων καὶ κατὰ τῶν συκοφαντῶν προβολὰς ἐν τῷ δήμῳ τίθεσθαι. εἰ δέ τις καταχειροτονηθείη, οὗτος εἰσήγετο εἰς τὸ δικαστήριον. ἔστι δὲ πολλάκις τοὔνομα παρά 166 τε Δημοσθένει ἐν τῷ κατὰ Μειδίου καὶ Ὑπερίδει ἐν τῷ ὑπὲρ Χαιρεφίλου περὶ τοῦ ταρίχους. διεξῆλθε δὲ περὶ τῆς καταχειροτονίας καὶ Θεόφραστος ἐν τετάρτῃ τῶν νόμων.

Καταψευδομαρτυρησάμενος, ἀντὶ τοῦ παρασχὼν τοὺς τὰ ψεύδη μαρτυρήσαντας. Δημοσθένης ἐν τῷ κατὰ Στεφάνου.

Κατέλευσαν, κατέβαλλον λίθοις. Ὑπερίδης ἐν τῷ κατ' Αὐτοκλέους.

Κατῳκοδόμησεν, ἀντὶ τοῦ κατέκλεισεν εἰς οἴκημα καὶ ἀπέκτεινεν. Ἰσαῖος ἐν τῷ κατὰ Διοκλέους πολλάκις.

Κέβρηνα, Δημοσθένης ἐν τῷ κατ' Ἀριστοκράτους. πόλις ἐστὶ τῆς Τρῳάδος Κέβρην, Κυμαίων ἀποικία, ὥς φησιν Ἔφορος ἐν τῇ πρώτῃ.

I.

Ἴδιαν, ἀντὶ τοῦ ἰδιωτικήν, Δημοσθένης ἐν τῷ κατὰ Κόνωνος. ἐλέγετο δὲ τὸ ἴδιον καὶ ἰδιωτικόν, ὡς ὁ αὐτὸς ῥήτωρ ἐν τῷ πρὸς Ζηνόβιον.

Ἰδριεύς, Ἰσοκράτης Φιλιππικῷ. δυνάστης ἦν οὗτος ἐν Καρίᾳ, υἱὸς Ἑκατόμνου, ἀδελφὸς δὲ Μαυσώλου καὶ Ἀρτεμισίας.

Ἱέραξ, Δημοσθένης ἐν πρώτῳ Φιλιππικῷ. ὅτι ὁ Ἱέραξ εἷς ἦν τῶν ὑπ' Ἀμφιπολιτῶν πεμφθέντων πρέσβεων Ἀθήναζε, βουλομένων αὐτῶν Ἀθηναίοις παραδοῦναι καὶ τὴν πόλιν καὶ τὴν χώραν, εἴρηκε Θεόπομπος ἐν τρίτῳ Φιλιππικῶν.

Ἱερὰ ὁδός, Ἰσαῖος ἐν τῇ πρὸς Διοφάνην ἀπολο-
(90)γίᾳ. Ἱερὰ ὁδός ἐστιν, ἣν οἱ μύσται πορεύονται ἀπὸ
τοῦ ἄστεος ἐπ' Ἐλευσῖνα. βιβλίον οὖν ὅλον Πολέμωνι
151 γέγραπται περὶ τῆς Ἱερᾶς ὁδοῦ. μνημονεύει δ' αὐτῆς
Κρατῖνος ἐν Δραπέτισιν.

Ἱερὰ τριήρης, Δημοσθένης ἐν τετάρτῳ Φιλιππικῶν· Καὶ τὴν ἱερὰν ἀπὸ τῆς χώρας ᾤχετ' ἔχων τριήρη. λέγοι ἂν τὴν Πάραλον, ὡς συνιδεῖν ἔστιν ἔκ τε τῆς Φιλοχόρου καὶ ἐκ τῆς Ἀνδροτίωνος ὁμοίως ἕκτης.

Ἱερομηνία, Δημοσθένης κατὰ Τιμοκράτους. αἱ ἑορτώδεις ἡμέραι ἱερομηνίαι καλοῦνται.

Ἱερομνήμονες, Δημοσθένης ὑπὲρ Κτησιφῶντος. οἱ πεμπόμενοι εἰς τὸ τῶν Ἀμφικτυόνων συνέδριον ἐξ ἑκάστης πόλεως τῶν τοῦ συνεδρίου μετεχουσῶν οὕτω καλοῦνται, ὡς σαφὲς ποιεῖ Θεόπομπος ἐν τῇ τριακοστῇ.

Ἱεροφάντης. Ὑπερίδης φησί που· Ἐγὼ δὲ οὔτε δᾳδούχου θυγατέρα ἔχω οὔτε ἱεροφάντου. Δείναρχος

ἐν τῇ Κροκωνιδῶν διαδικασίᾳ ὠνομάσθαι φησὶ τὸν πρῶτον ἱεροφάντην τὸν ἀποφήναντα ἐκ τοῦ πολέμου ἐπιόντα τὰ ἱερά. περὶ δὲ τοῦ γένους τῶν ἱεροφαντῶν δεδήλωκεν Ἑλλάνικος ἐν δευτέρᾳ Ἀτθίδος.

Ἱερώνυμος, Λυσίας ἐν τῷ πρὸς Ἱπποθέρσην·
Ἱερωνύμου τοῦ στρατηγήσαντος Ἀθηναίων ἄλλοι τε μνη- 152
μονεύουσι καὶ Ἔφορος ἔν τε τῇ ὀγδόῃ καὶ δεκάτῃ καὶ
ἐν τῇ ἐννάτῃ καὶ δεκάτῃ. ἕτερος δ' ἐστὶν Ἱερώνυμος
Μεγαλοπολίτης, οὗ μνημονεύει Δημοσθένης ἐν τῷ κατ'
Αἰσχίνου. ὅτι δ' οὗτος ἦν τῶν μακεδονιζόντων μάλι-
στα καὶ Θεόπομπος εἴρηκεν ἐν τῇ πεντηκοστῇ πρώτῃ.

Ἰθύφαλλοι. Ὑπερίδης ἐν τῷ κατ' Ἀρχεστρατί-
δου, οἱ τοὺς ἰθυφάλλους ἐν τῇ ὀρχήστρᾳ ὀρχούμενοι.
ποιήματά τινα οὕτως ἐλέγετο ἐπὶ τῷ φαλλῷ ᾀδόμενα,
ὡς Λυγκεὺς ἐν ταῖς Ἐπιστολαῖς φησι. Δημοσθένης δὲ
ἐν τῷ κατὰ Κόνωνος ἐπὶ ἐπωνύμου τεθειμένου τισὶ
κατὰ παιδιὰν ἔταξεν αὐτό. ἐλέγετο δὲ κυρίως ἰθύφαλ- (91)
λος τὸ ἐντεταμένον αἰδοῖον, ὡς Κρατῖνος ἐν Ἀρχιλόχοις.

Ἰκαριεύς, Ἰσαῖος ἐν τῷ κατ' Ἐλπαγόρου καὶ Δημοφάνους. δῆμός ἐστι φυλῆς τῆς Αἰγηΐδος, ὥς φησι Διόδωρος.

Ἱκετηρία, Αἰσχίνης ἐν τῇ ἀπολογίᾳ. ἱκετηρία καλεῖται ἐλαίας κλάδος στέμματι ἐστεμμένος.

Ἰόνιος. Λυσίας ἐν Ὀλυμπιακῷ. τὸν Ἀδρίαν κα-
λούμενον οὕτως ὠνόμαζον ἐνίοτε οἱ παλαιοί. Ἐπί- 153
δαμνός ἐστι πόλις ἐς δεξιὰ ἐσπλέοντι τὸν Ἰόνιον κόλ-
πον, Θουκυδίδης ἐν πρώτῃ.

Ἰπνός, Λυκοῦργος ἐν τῷ κατὰ Λυκόφρονος πρώτῳ. μέρος τι τῆς οἰκίας οὕτω καλεῖται, τὸ λεγόμενον παρ' ἡμῖν μαγειρεῖον. ἔστι γοῦν δρᾶμα Φερεκράτει Ἰπνὸς ἢ Παννυχίς, ἐν ᾧ δηλοῦται τοῦτο, ὅτι μέρος τῆς οἰκίας ἐστί. λέγεται δὲ κυρίως ἰπνὸς ἡ κάμινος· ὅθεν καὶ ἰπνοπλάθους τινὰς ὀνομάζουσιν.

Ἵππαρχος, Δημοσθένης ἐν τῷ κατὰ Κτησιφῶντος. τύραννος ἦν οὗτος Ἐρετρίας. ἕτερος δ' ἐστὶν Ἵπ-

παρχος περὶ οὗ Λυκοῦργος ἐν τῷ κατὰ Λυκόφρονός φησιν, Ἵππαρχος ὁ Πεισιστράτου. ἄλλος δέ ἐστιν Ἵππαρχος ὁ Χάρμου, ὥς φησι Λυκοῦργος ἐν τῷ κατὰ Λεωκράτους. περὶ δὲ τούτου Ἀνδροτίων ἐν τῇ δευτέρᾳ φησίν, ὅτι συγγενὴς μὲν ἦν Πεισιστράτου τοῦ τυράννου καὶ πρῶτος ἐξωστρακίσθη, τοῦ περὶ τὸν ὀστρακισμὸν νόμου τότε πρῶτον τεθέντος, διὰ τὴν ὑποψίαν τῶν περὶ Πεισίστρατον, ὅτι δημαγωγὸς ὢν καὶ στρατη-
154 γὸς ἐτυράννησεν. ἄλλος δ' ἐστὶν Ἵππαρχος ὑποκριτής, οὗ μνημονεύει Δημοσθένης ἐν τῷ κατὰ Νεαίρας, εἰ γνήσιος. λέγεται δὲ παρ' Ἀθηναίοις ἵππαρχος καὶ ὁ τῶν ἱππέων ἄρχων. δύο δ' ἦσαν οὗτοι, ὡς Δημοσθένης ἐν τετάρτῳ Φιλιππικῶν φησι καὶ Ἀριστοτέλης ἐν Ἀθηναίων πολιτείᾳ.

Ἱ π π ά ς, Ἰσαῖος ἐν τῷ περὶ τοῦ Ἀπολλοδώρου κλή-
(92) ρου· Ἀπεγράψατο μὲν τίμημα μικρόν, ὡς ἱππάδα τελῶν. Ἀριστοτέλης δ' ἐν Ἀθηναίων πολιτείᾳ φησὶν ὅτι Σόλων εἰς τέτταρα διεῖλε τέλη τὸ πᾶν πλῆθος Ἀθηναίων, Πεντακοσιομεδίμνους καὶ Ἱππέας καὶ Ζευγίτας καὶ Θῆτας.

Ἱ π π ί α Ἀ θ η ν ᾶ, Ἰσαῖος ἐν τῷ πρὸς Καλυδῶνα. Μνασέας ἐν πρώτῃ Εὐρώπης τὴν ἱππίαν Ἀθηνᾶν Ποσειδῶνός εἶναί φησι θυγατέρα καὶ Κορύφης τῆς Ὠκεανοῦ, ἅρμα δὲ πρώτην κατασκευάσασαν, διὰ τοῦτο ἱππίαν κεκλῆσθαι.

Ἱ π π ο δ ά μ ε ι α, Δημοσθένης ἐν τῷ πρὸς Τιμόθεον. ἀγορὰν φασιν εἶναι ἐν Πειραιεῖ, καλουμένην Ἱπποδά-
155 μειαν, ἀπὸ Ἱπποδάμου Μιλησίου ἀρχιτέκτονος τοῦ οἰκοδομησαμένου τοῖς Ἀθηναίοις τὸν Πειραιᾶ.

Ἴ σ α β α ί ν ω ν Π υ θ ο κ λ ε ῖ, Δημοσθένης ἐν τῷ κατ' Αἰσχίνου, ἀντὶ τοῦ συνὼν ἀεὶ καὶ μηδὲ βραχὺ ἀφιστάμενος. καὶ ἐν τῷ κατὰ Στεφάνου πρώτῳ φησίν, Ἀριστολόχῳ τῷ τραπεζίτῃ ἴσα βαίνων ἐβάδιζε. Μένανδρος,

παρ' αὐτὸν ἴσα βαίνουσα ἑταίρα πολυτελής.

Ἴ σ α ι ψ ῆ φ ο ι, Αἰσχίνης κατὰ Κτησιφῶντος· Ἕτερος δὲ πλεύσας ἰδιώτης εἰς Ῥόδον, ὅτι τὸν φόβον ἀνάν-

θρως ἤνεγκε, πρώην μέν ποτε εἰσηγγέλθη, καὶ ἴσαι αἱ ψῆφοι αὐτῷ ἐγένοντο. εἰ δὲ μία ψῆφος μετέπεσεν, ὑπερώριστο ἂν καὶ ἀπέθανεν.

Ἰσαῖος. εἷς ἐστι τῶν δέκα ῥητόρων οὗτος, μαθητὴς δ' ἦν Ἰσοκράτους, διδάσκαλος δὲ Δημοσθένους, Ἀθηναῖος τὸ γένος, καθά φησιν Ἕρμιππος ἐν δευτέρῳ περὶ τῶν Ἰσοκράτους μαθητῶν. Δημήτριος δ' ἐν τοῖς περὶ ὁμωνύμων ποιητῶν Χαλκιδέα φησὶν αὐτὸν εἶναι.

Ἰσμηνίας, Λυσίας ἐν τῷ κατὰ Θρασυβούλου, εἰ γνήσιος. εἷς τῶν παρ' Ἀθηναίοις ἦν πολέμαρχος(93) ἐπιφανής. 156

Ἰσοδαίτης, Ὑπερίδης ἐν τῷ ὑπὲρ Φρύνης, ξενικός τις δαίμων, ᾧ τὰ δημώδη γύναια καὶ μὴ πάνυ σπουδαῖα ἐτέλει.

Ἰσοτελὴς καὶ ἰσοτέλεια, Ἰσαῖος ἐν τῷ κατ' Ἐλπαγόρου. πολλάκις τιμή τις διδομένη τοῖς ἀξίοις φανεῖσι τῶν μετοίκων, καθ' ἣν καὶ ἡ τοῦ μετοικίου ἄφεσις αὐτοῖς ἐγίγνετο, ὡς Λυσίας ἐν τῷ πρὸς Σώστρατον ὕβρεως, εἰ γνήσιος. ὅτι δὲ καὶ τῶν ἄλλων ὧν ἔπραττον οἱ μέτοικοι ἄφεσιν εἶχον οἱ ἰσοτελεῖς, Θεόφραστος εἴρηκεν ἐν ἑνδεκάτῃ τῶν νόμων. οὗτος δέ φησιν ὡς ἐνιαχοῦ καὶ πόλεσιν ὅλαις ἐψηφίζοντο τὴν ἀτέλειαν Ἀθηναῖοι, ὥσπερ Ὀλυνθίοις τε καὶ Θηβαίοις. ἔστι δὲ μαθεῖν ἐκ τοῦ προγεγραμμένου Ἰσαίου λόγου, καὶ ὅσα ἐτέλει ὁ ἰσοτελής.

Ἴσχανδρος, Δημοσθένης κατ' Αἰσχίνου. τραγικὸς ὑποκριτὴς ὁ Ἴσχανδρός ἐστι. δοκεῖ δ' αὐτῷ συνυποκρινόμενος Αἰσχίνης ὁ ῥήτωρ ἐν Κολυττῷ καταπεσεῖν, καθά φησιν Δημοχάρης ἐν τοῖς Διαλόγοις.

Ἰτεαῖος, Λυσίας ἐν τῷ κατὰ Νικίου. δῆμός ἐστι τῆς Ἀκαμαντίδος Ἰτέα, ἀφ' ἧς ὁ δημότης Ἰτεαῖος, ὥς 157
φησι Διόδωρος.

Ἴων, Ἰσοκράτης ἐν τῷ περὶ τῆς ἀντιδόσεως. Ἴωνος τοῦ τῆς τραγῳδίας ποιητοῦ μνημονεύοι ἂν νῦν ὁ ῥήτωρ, ὃς ἦν Χῖος μὲν γένος, υἱὸς δὲ Ὀρθομένους, ἐπί-

κλησιν δὲ Ξούθου. ἔγραψε δὲ μέλη πολλὰ καὶ τραγῳδίας καὶ φιλόσοφόν τι σύγγραμμα τὸν Τριαγμὸν ἐπιγραφόμενον, ὅπερ Καλλίμαχος ἀντιλέγεσθαί φησιν ὡς Ἐπιγένους· ἐν ἐνίοις δὲ καὶ πληθυντικῶς ἐπιγράφεται Τριαγμοί, καθὰ Δημήτριος ὁ Σκήψιος καὶ Ἀπολλωνίδης ὁ Νικαεύς. ἀναγράφουσι δὲ ἐν αὐτῷ τάδε· Ἀρχὴ δέ μοι τοῦ λόγου πάντα τρία, καὶ πλέον τοῦδε, πλέον ἐλάσσων τούτων τριῶν ἑνὸς, ἑκάστου ἀρετὴ τριὰς, Σύνεσις καὶ Κράτος καὶ Τύχη.

(94) *Ἰωνία χώρα.* καὶ Ἰωνίας πόλεις δώδεκα, Ἔφεσος, Ἄνδροκλος, Μίλητος, Μυοῦς, Πριήνη, Κολοφῶν, Τέως, Λέβεδος, Ἐρυθραί, Φώκαια, Κλαζομεναί, Σάμος.

Ἰωνικὸς, Ἑλληνικὸς, Ἀθηναῖοις, ἀρχαῖος· καὶ Ἰωνικῶς ἀντὶ τοῦ ἁβρῶς, τρυφερῶς. Ἀριστοφάνης ἐν Θεσμοφοριαζούσαις,

ἐμιτροφόρουν τε καὶ διεκίνουν Ἰωνικῶς.

K.

Καβύλη, *Δημοσθένης ἐν ὀγδόῳ Φιλιππικῶν.* χωρίον ἐστὶ τῆς Θράκης, ὥς φησι Θεόπομπός τε ἐν τῇ τεσσαρακοστῇ ἑβδόμῃ καὶ Ἀναξιμένης ἐν ὀγδόῳ Φιλιππικῶν. οὗτος δὲ φησιν αὐτὸ ἱδρύσασθαι πρὸς τῷ Τάξῳ ποταμῷ κατὰ μέσον τῆς Θράκης. 158

Καδίσκος, Ἰσαῖος ἐν τῷ περὶ τοῦ Ἁγνίου κλήρου. ἀγγεῖόν τι εἰς ὃ ἐψηφοφόρουν οἱ δικασταὶ οὕτως ἔλεγον. Φρύνιχος Μούσαις,

ἰδού, δέχου τὴν ψῆφον, ὁ καδίσκος δέ σοι
ὁ μὲν ἀπολύων οὗτος, ὁ δ᾽ ἀπολλὺς ὁδί.

Καδμεία, Ἰσοκράτης Πανηγυρικῷ, τῆς Καδμείας καὶ οἱ ἄλλοι ῥήτορες πολλάκις μνημονεύουσι. λέγεται δὲ οὕτως ἡ τῶν Θηβαίων ἀκρόπολις, ὡς παρὰ πᾶσι σχεδὸν τοῖς ἱστορικοῖς ὡμολόγηται.

Καθάρσιον, Αἰσχίνης κατὰ Τιμάρχου. ἔθος ἦν Ἀθήνησι καθαίρειν τὴν ἐκκλησίαν καὶ τὰ θέατρα καὶ ὅλως τὰς τοῦ δήμου συνόδους μικροῖς πάνυ χοιριδίοις, ἅπερ ὠνόμαζον καθάρσια. τοῦτο δ᾽ ἐποίουν οἱ λεγόμενοι περιστίαρχοι, οἵπερ ὠνομάσθησαν οὕτως ἤτοι ἀπὸ τοῦ περιστείχειν ἢ ἀπὸ τῆς Ἑστίας. 159 (95)

Καθελών. Δημοσθένης ἐν τῷ κατ᾽ Ἀριστοκράτους φησίν· ἢ ἐν ὁδῷ καθελών, ἀντὶ τοῦ ἀνελών, ἢ ἀποκτείνας. ἐχρήσαντο δὲ οὕτω τῷ ὀνόματι καὶ ἄλλοι, ὡς καὶ Στησίχορος ἐν Ἰλίου πέρσει καὶ Σοφοκλῆς ἐν Εὐμήλῳ.

Καθήκοντα. Δημοσθένης ἐν δεκάτῳ Φιλιππικῶν φησιν, Ὅστις οὐκ ἠξίου τὰ καθήκοντα ἐφ᾽ ἑαυτὸν ποιεῖν, ἀντὶ τοῦ τὰ ἥκοντα ἐφ᾽ ἑαυτόν.

Καθετος, ὁ καθιέμενος εἰς τὸ πέλαγος ἄμνος. Λυσίας ἐν τῷ κατὰ Τελαμῶνος. διείλεκται περὶ τοῦ καθέτου Μελίτων ἐν πρώτῳ περὶ τῶν ἐν Ἀθήνησι Γενῶν.

Καὶ γὰρ τὸ μηδένα τῶν μαχίμων ἄνευ τῆς τῶν ἀρχόντων γνώμης ἀποδημεῖν. Ἰσοκράτους ἐν τῷ Βουσίριδι περὶ Λακεδαιμονίων ταῦτα λέγοντος ῥητέον ὅτι καὶ οἱ τὰς Λακεδαιμονίων πολιτείας γεγραφότες τὰ ὅμοια εἰρήκασιν. ὁ δὲ Ἀριστοτέλης οὐκ ἐξεῖναί φησιν ἀποδημεῖν τοῖς Λακεδαιμονίοις, ὅπως
160 μηδὲ ἐθίζωνται ἄλλων νόμων εἶναι φίλοι. τοῦ μέντοι Ἰσοκράτους τοὺς μαχίμους μόνους λέγοντος κωλύεσθαι ἀποδημεῖν, οἱ περὶ Ἀριστοτέλην τοὺς πάντας Λακεδαιμονίους φασίν.

Καινῶς, Ἰσοκράτης Πανηγυρικῷ. οἷον ὡς τοῖς νεωτέροις ἁρμόττειν πράγμασιν. Ἔφορος δὲ τρόπον τινὰ ἐξηγήσατο αὐτὸ ἐν τῇ πρώτῃ.

Κακοτεχνιῶν, δίκης ὄνομα, ἣν οἱ ἑλόντες τινὰ ψευδομαρτυριῶν κατὰ τοῦ παρασχομένου αὐτοῦ ἐδίδοσαν. Δημοσθένης ἐν τῷ κατὰ Τιμοθέου τίσεως, εἰ γνήσιος, καὶ ἐν τῷ κατ' Εὐέργου καὶ Μνησιβούλου.

Κακῶς εἰδότες, ἀντὶ τοῦ ἀγνοοῦντες. Ἰσοκράτης περὶ εἰρήνης.

Κακώσεως, δίκης ὄνομά ἐστι ταῖς τε ἐπικλήροις κατὰ τῶν γεγαμηκότων καὶ κατὰ τῶν παίδων τοῖς γο-
(96) νεῦσι καὶ κατὰ τῶν ἐπιτρόπων τοῖς ὑπὲρ τῶν ὀρφανῶν. Δημοσθένης κατὰ Τιμοκράτους καὶ Λυσίας ἔν τε τῷ περὶ τοῦ Ἡγησάνδρου κλήρου καὶ [Ὑπερίδης] ἐν τῷ ὑπὲρ τοῦ Πυράνδρου κλήρου. ὅτι δὲ ἐξῆν καὶ παντὶ τῷ βουλομένῳ γράφεσθαι κακώσεως γονέων καὶ ταῖς
161 ἐπικλήροις βοηθεῖν, δηλοῦται ἔν τε τῷ προειρημένῳ λόγῳ Ὑπερίδου καὶ ἐν τῷ Λυσίου κατὰ Φιλωνίδου βιαίων, εἰ γνήσιος· ἦν δὲ καὶ ἄνευ ὕδατος.

Καλαύρεια, Δημοσθένης ἐν τῇ περὶ τῆς ἑαυτοῦ καθόδου ἐπιστολῇ. νῆσός ἐστι πλησίον Τροιζῆνος, ὡς Ἑκαταῖος ἐν περιόδῳ τῆς γῆς ἔφη. ἐκαλεῖτο δὲ πρότερον Εἰρήνη ἡ Καλαύρεια, καθά φησιν Ἀντικλείδης.

Κανηφόροι· Λυκοῦργος ἐν τῷ κατὰ Λυκόφρονος περὶ τῶν κανηφόρων. Φιλόχορος ἐν δευτέρᾳ Ἀτθίδος φησὶν ὡς Ἐριχθονίου βασιλεύοντος πρῶτον κατέστησαν αἱ ἐν ἀξιώματι παρθένοι φέρειν τὰ κανᾶ τῇ θεῷ, ἐφ' οἷς ἐπέκειτο τὰ πρὸς τὴν θυσίαν, τοῖς τε Παναθηναίοις καὶ ταῖς ἄλλαις πομπαῖς.

Καρκίνος, Λυσίας ἐν τῇ περὶ τοῦ κυνὸς ἀπολογίᾳ, εἰ γνήσιος· ἐλυμαίνοντο γάρ μου τὸν καρκίνον αἱ φοιτῶσαι αἱ κύνες. καὶ ὅταν ὁ σῖτος ῥιζωθῇ κατὰ τῆς γῆς, κεκαρκινῶσθαι φασι. Φερεκράτης Αὐτομόλοις,

ὁπόταν σχολάζῃς, νῆψον, ἵνα τὰ λήϊα
συγκαρκινωθῇ.

λέγεται καρκίνος καὶ πάθος τι συμβαῖνον ἐν τοῖς σώμα- 162
σιν, ὃ νῦν καρκίνωμα καλοῦσιν. ἔστι δὲ καὶ κύριον ὄνομα, οὗ μνημονεύει Ἰσοκράτης Τραπεζιτικῷ. εἴη δ' ἂν οὗτος ὁ Ἀθηναίων στρατηγὸς, πεμφθεὶς περιπλεῦσαι Πελοπόννησον. περὶ δὲ τῆς τραγῳδίας ποιητοῦ, τοῦ Ξενοκλέους υἱοῦ, Λυσίας ἐν τῷ πρὸς Μνησίμαχόν φησι. συντίθεται δὲ τούτοις καὶ Καρκῖνος ὁ ποιητὴς εἰπὼν,

οὐ κεῖνος ἐξέστησε, τὰς γὰρ ἐμφύτους (97)
ὀρθῶς παγείσας μὲν φρένας
οὐδεὶς ἐπαίρει καιρὸς ἐξαμαρτάνειν.

Καρποῦ δίκη. Λυσίας ἐν τῷ κατὰ Δημοσθένους ἐπιτροπῆς, εἰ γνήσιος· Εἰ γάρ τι ἐγκαλεῖς τῷδε τῷ μειρακίῳ καὶ τῶν σῶν τι ἔχει, δίκασαι αὐτῷ κατὰ τοὺς νόμους· εἰ μὲν χωρίου ἀμφισβητεῖς, καρποῦ· εἰ δὲ οἰκίας, ἐνοικίου, ὥσπερ οὗτός σοι νῦν ἐπιτροπῆς δικάζεται.

Καρύανδα, Δείναρχος ἐν τῷ κατὰ Πολυεύκτου. ἔστι δὲ πόλις τῆς Καρίας.

Καταβολή. Δημοσθένης ἐν ἐνάτῳ Φιλιππικῶν· Ὥσπερ περίοδος ἢ καταβολὴ πυρετοῦ. ἐν ταῖς περιοδι- 163
καῖς νόσοις λέγεταί τις καταβολὴ, διὰ τὸ ἐν ἀποδεδειγμένῳ προϊέναι χρόνῳ, καθάπερ οἱ ἐρανισταὶ τὰς καταβολὰς ποιοῦνται τῶν χρημάτων.

Καταδεδέσθαι, ἀντὶ τοῦ πεφαρμακεῦσθαι καὶ δεδέσθαι φαρμάκοις. Δείναρχος ἐν τῇ κατὰ Πυθέου εἰσαγγελίᾳ.

Κατὰ δήμους δικαστάς, Δημοσθένης ἐν τῷ κατὰ Τιμοκράτους. περὶ τῶν κατὰ δήμους δικαστῶν, ὡς πρότερον μὲν ἦσαν τριάκοντα καὶ κατὰ δήμους περιιόντες ἐδίκαζον, εἶτα ἐγένοντο τεσσαράκοντα, εἴρηκεν Ἀριστοτέλης ἐν τῇ πολιτείᾳ.

Καταδικασάμενος, ἀντὶ τοῦ νικήσας καὶ καταδικασθῆναί τινα ποιήσας. Ἰσαῖος ἐν τῷ κατὰ Διοκλέους ὕβρεως.

Κατάγειν τὰ πλοῖα, Δημοσθένης ἐν ὀγδόῳ Φιλιππικῶν. κατάγειν τὰ πλοῖα λέγεται ἀντὶ τοῦ ληΐζεσθαι καὶ κακοῦν καὶ μὴ ἐᾶν τοὺς πλέοντας ὅπου βούλονται πλεῖν, ἀλλ' εἰς τὰ οἰκεῖα χωρία τοῖς ληστεύουσι κατάγειν, ὡς καὶ Λυκοῦργος ἐν τῷ κατὰ Λεωκράτους δηλοῖ.

164 **Κατάστασις**. Λυσίας· ψηφίσασθαι δὲ τοὺς φυλάρ-
(98) χους ἀπενεγκεῖν τοὺς ἱππεύσαντας, ἵνα τὰς καταστάσεις ἀναπράξητε παρ' αὐτῶν. ἔοικεν ἀργύριον εἶναι ὅπερ οἱ κατασταθέντες ἱππεῖς ἐλάμβανον ἐκ τοῦ δημοσίου ἐπὶ τῇ καταστάσει, ὥσπερ αὐτὸς ὁ ῥήτωρ ἐν τοῖς ἑξῆς ὑποσημαίνει. παρεμφαίνει τοῦτο καὶ Εὔπολις Φίλοις,

οὐκ ἐσωφρόνησας, ὦ πρεσβῦτα, τὴν κατάστασιν
τήνδε λαμβάνων ἄφνω, πρὶν καὶ μαθεῖν τὴν ἱππικήν.

ἔτι δὲ σαφέστερον λέγεται ἐν τῷ Σύρφακι Πλάτωνος. ἀπεδίδοτο δὲ τὸ ἀργύριον ὑπὸ τῶν ἱππευσάντων ὅταν ἀντ' αὐτῶν ἕτεροι καθίσταντο· ἀπῄτουν δὲ αὐτὸ οἱ φύλαρχοι.

Κατὰ τὴν ἀγορὰν ἀψευδεῖν. Ὑπερίδης ἐν τῷ κατ' Ἀθηνογένους πρώτῳ. ὁ μὲν τοίνυν νόμος κελεύει ἀψευδεῖν ἐν τῇ ἀγορᾷ· ἔοικεν ὁ νόμος περὶ τῶν ὠνίων κεῖσθαι. Θεόφραστος γοῦν ἐν τοῖς περὶ νόμων φησί, δυοῖν τούτων ἐπιμελεῖσθαι δεῖν τοὺς ἀγορανόμους, τῆς τε ἐν τῇ ἀγορᾷ εὐκοσμίας καὶ τοῦ ἀψευδεῖν μὴ μόνον τοὺς πιπράσκοντας, ἀλλὰ καὶ τοὺς ὠνουμένους.

Κατατομή. Ὑπερίδης ἐν τῷ κατὰ Δημοσθένους· 165 Καὶ καθήμενος κάτω ὑπὸ τῇ κατατομῇ. Φιλόχορος δὲ ἐν ἕκτῃ οὕτως· Αἰσχραῖος Ἀναγυράσιος ἀνέθηκε τὸν ὑπὲρ θεάτρου τρίποδα καταργυρώσας, νενικηκὼς τῷ πρότερον ἔτει χορηγῶν παισὶ, καὶ ἐπέγραψεν ἐπὶ τὴν κατατομὴν τῆς πέτρας.

Καταπλήξ, ὁ συνεχῶς πεπληγμένος. Λυσίας ἐν τῷ πρὸς Αἰσχίνην τὸν Σωκρατικὸν, ἐν τῷ κατ' Ἀνδοκίδου ἀσεβείας, εἰ γνήσιος ὁ λόγος. Θεόπομπος Τισαμένῳ,

ἀλλ' ἡ μὲν Εἰλείθυια συγγνώμην ἔχει
ὑπὸ τῶν γυναικῶν οὖσα καταπλὴξ τὴν τέχνην.

Καταχύσματα, Δημοσθένης ἐν τῷ κατὰ Στεφά- (99) νου πρώτῳ. ὅτι τῶν νεωνήτων οἱ δεσπόται τραγήματα κατέχεον, Ἀριστοφάνης ἐν Πλούτῳ δηλοῖ· ὅτι δὲ καὶ τῶν ἀπὸ θεωρίας καὶ τῶν νυμφίων, ὡς Θεόπομπος Ἡδυχάρει.

Καταχειροτονία. ἔθος ἦν Ἀθήνῃσι κατὰ τῶν ἀρχόντων καὶ κατὰ τῶν συκοφαντῶν προβολὰς ἐν τῷ δήμῳ τίθεσθαι. εἰ δέ τις καταχειροτονηθείη, οὗτος εἰσήγετο εἰς τὸ δικαστήριον. ἔστι δὲ πολλάκις τοὔνομα παρά 166 τε Δημοσθένει ἐν τῷ κατὰ Μειδίου καὶ Ὑπερίδει ἐν τῷ ὑπὲρ Χαιρεφίλου περὶ τοῦ ταρίχους. διεξῆλθε δὲ περὶ τῆς καταχειροτονίας καὶ Θεόφραστος ἐν τετάρτῃ τῶν νόμων.

Καταψευδομαρτυρησάμενος, ἀντὶ τοῦ παρασχὼν τοὺς τὰ ψευδῆ μαρτυρήσαντας. Δημοσθένης ἐν τῷ κατὰ Στεφάνου.

Κατέλευσαν, κατέβαλλον λίθοις. Ὑπερίδης ἐν τῷ κατ' Αὐτοκλέους.

Κατῳκοδόμησεν, ἀντὶ τοῦ κατέκλεισεν εἰς οἴκημα καὶ ἀπέκτεινεν. Ἰσαῖος ἐν τῷ κατὰ Διοκλέους πολλάκις.

Κέβρηνα, Δημοσθένης ἐν τῷ κατ' Ἀριστοκράτους. πόλις ἐστὶ τῆς Τρωάδος Κέβρην, Κυμαίων ἀποικία, ὥς φησιν Ἔφορος ἐν τῇ πρώτῃ.

Κεγχρεών. Δημοσθένης ἐν τῇ πρὸς Πανταίνετον παραγραφῇ· κἄπειτ' ἔπεισε τοὺς οἰκέτας τοὺς ἐμοὺς καθέζεσθαι εἰς τὸν κεγχρεῶνα· ἀντὶ τοῦ εἰς τὸ καθαριστήριον, ὅπου τὴν ἐκ τῶν μετάλλων κέγχρον διέψυχον, ὡς ὑποσημαίνει Θεόφραστος ἐν τῷ περὶ μετάλλων.

167 Κεῖοι. Λυσίας ἐν τῷ περὶ τῶν ἰδίων εὐεργεσιῶν· οἱ Κεῖοι μὲν πόλις τοσαύτη. Κέως, μία τῶν Κυκλάδων νήσων, παρακειμένη τῇ Ἀττικῇ. τὴν νῆσον δὲ πόλιν ὠνόμασεν ὁ ῥήτωρ, καὶ Εὐριπίδης τὴν Εὔβοιαν,

Εὔβοι' Ἀθήναις ἐστί τις γείτων πόλις.

(100) Ἀριστοφάνης δὲ περὶ Σικελίας φησίν,

οἵα πόλις τάλαινα διαλυμαίνεται.

Κειριάδης, Ἰσαῖος ἐν τῇ πρὸς Βοιωτὸν ἐκ δημοτῶν ἐφέσει. ὅτι Κειριάδαι δῆμός ἐστι τῆς Ἱπποθοωντίδος εἴρηκε Διόδωρος ἐν τῷ περὶ τῶν Δήμων.

Κεκροπὶς, Ὑπερίδης ἐν τῷ πρὸς Ἀριστογείτονα. μία δ' ἦν τῶν δέκα φυλῶν Ἀθήνησι Κεκροπὶς, ὡς Δημοσθένης ἐν τῷ ἐπιταφίῳ, εἰ γνήσιος.

Κελέοντες, Ἀντιφῶν ἐν τῇ πρὸς Δημοσθένους γραφὴν ἀπολογίᾳ, Ἵνα τοὺς κελέοντας κατέπηξεν. κυρίως μὲν κελέοντές εἰσιν οἱ ἱστόποδες, ὡς καὶ παρ' Ἀριστοφάνει δῆλον τῷ κωμικῷ· μεταφορικῶς δὲ νῦν ὁ ῥήτωρ λέγοι ἂν τὰ ὀρθὰ ξύλα.

168 Κεραμεῖς, Ὑπερίδης ἐν τῷ ὑπὲρ Ξενοφίλου πρώτῳ. δῆμός ἐστι φυλῆς τῆς Ἀκαμαντίδος Κεραμεῖς, ὥς φησι Διόδωρος. φησὶ δὲ Φιλόχορος ἐν τῇ τρίτῃ εἰληφέναι τούτους τοὔνομα ἀπὸ τῆς κεραμεικῆς τέχνης καὶ τοῦ θύειν Κεράμῳ τινὶ ἥρωϊ.

Κεραμεικὸς, Ἀντιφῶν ἐν τῷ πρὸς Νικοκλέα περὶ ὅρων, ὅτι δύο εἰσὶ Κεραμεικοὶ, ὡς καὶ ὁ ῥήτωρ φησὶν, ὁ μὲν ἔνδον ἐν τῇ πόλει, ὁ δὲ ἕτερος ἔξω τῆς πόλεως· ἔνθα καὶ τοὺς ἐν πολέμῳ τελευτήσαντας ἔθαπτον δημοσίᾳ καὶ τοὺς ἐπιταφίους ἔλεγον, ὡς δηλοῖ Καλλίστρατος ἢ Μενεκλῆς ἐν τῷ περὶ Ἀθηνῶν.

Κερκίδας. Δημοσθένης ἐν τῷ ὑπὲρ Κτησιφῶντος τοὺς προδότας καταλέγων φησὶν, Ἀρκάδας Κερ-

κίδας· ὅτι δ' οὗτος τῶν τὰ Μακεδονικὰ φρονούντων ἦν εἴρηκε καὶ Θεόπομπος ἐν τῷ πεντεκαιδεκάτῳ Φιλιππικῶν.

Κέρκουρος, εἶδός τι νεώς. Δείναρχος Τυῤῥηνικῷ.

Κέρκωψ, Αἰσχίνης ἐν τῷ περὶ τῆς παραπρεσβείας. ἐν τοῖς εἰς Ὅμηρον ἀναφερομένοις Κέρκωψιν δηλοῦται(101) ὡς ἐξαπατητῆρές τε ἦσαν καὶ ψεῦσται οἱ Κέρκωπες. Ξεναγόρας δὲ εἰς πιθήκους αὐτοὺς μεταβαλεῖν φησι καὶ 169 τὰς Πιθηκούσσας νήσους ἀπ' αὐτῶν κληθῆναι. Αἰσχίνης δὲ ὁ Σαρδιανὸς ἐν τοῖς Ἰάμβοις καὶ τὰ ὀνόματα αὐτῶν ἀναγράφει, Ἄνδουλον καὶ Ἄτλαντον.

Κεινέας, Δημοσθένης ἐν τῷ ὑπὲρ Κτησιφῶντος. ὡμολόγηται καὶ παρὰ τοῖς ἱστορικοῖς ὅτι Κενέας εἷς ἦν τῶν προϊεμένων Φιλίππῳ τὰ Θετταλῶν πράγματα, καὶ μάλιστα Θεοπόμπῳ ἐν πρώτῃ, ἅμα καὶ διεξερχομένῳ τὰ ἐπὶ τὸν ἄνδρα.

Κερσοβλέπτης. πολλάκις τούτου μνημονεύουσιν οἱ ῥήτορες, ὥσπερ καὶ Δημοσθένης κατ' Ἀριστοκράτους. ἦν δὲ παῖς Κότυος, καὶ νεώτατος ὢν βασιλεὺς κατεστάθη ὑπὸ τοῦ πατρὸς Θρᾴκης· ὅτι δὲ καὶ ἐπὶ Χεῤῥονήσου ποτὲ ἐπολέμησεν Ἀθηναίοις δηλοῖ καὶ Ἰσοκράτης ἐν τῷ περὶ εἰρήνης.

Κεστρῖνοι, Ὑπερίδης ἐν τῷ περὶ τοῦ ταρίχους. Κεστρῖνος ἰχθύς. ἐπισκεπτέον δὲ, εἰ διαφέρει τι κεστρέως.

Κέφαλος, ὄνομα κύριον, δημαγωγός.

Κεφαλῆθεν, Ἰσαῖος ἐν τῷ πρὸς Καλυδῶνα ἐπι- 170 τροπῆς. Κεφαλὴ δῆμος τῆς Ἀκαμαντίδος, ἀφ' ἧς ὁ δημότης λέγεται Κεφαλῆθεν, καθά φησι Διόδωρος.

Κηδωνίδης, Αἰσχίνης ἐν τῷ κατὰ Τιμάρχου, Ὑπερβαίνων τούσδε τοὺς ἀγρίους Κηδωνίδην . . . παιδερασταί τινες ἦσαν οὗτοι σφοδροί.

Κηκὶς, βάμμα τι καὶ στύμμα, ἢ καρπός τις δρυὸς ἐπιτήδειος εἰς βαφήν. Δημοσθένης ἐν τῷ κατ' Ἀφόβου πρώτῳ.

Κῆπος, Αἰσχίνης ἐν τῷ κατὰ Κτησιφῶντος. πόλις δέ ἐστι κατὰ Βόσπορον καλουμένη Κῆπος.

Κηρυκεία, ὁ διδόμενος μισθὸς τοῖς κήρυξιν (102) ἐπὶ ταῖς γινομέναις πράσεσιν. Ἰσαῖος ἐν τῷ κατ' Ἐλπαγόρου καὶ Δημοφάνους.

Κήρυκες, Ἰσοκράτης Πανηγυρικῷ. γένος ἐστὶν ἐν Ἀθήναις οὕτως ὀνομαζόμενον. κέκληται δὲ ἀπὸ Κήρυκος τοῦ Ἑρμοῦ.

Κηττοὶ, Λυσίας ἐν τῷ κατὰ Νικίου ἀργίας. δῆμός ἐστι τῆς Λεοντίδος, ὡς Διόδωρος ὁ περιηγητής φησι.

Κηφισιεὺς, Ἰσαῖος ἐν τῷ κατ' Ἐλπαγόρου καὶ Δημοφάνους. δῆμός ἐστι τῆς Ἐρεχθηΐδος φυλῆς, ὡς αὐτός φησι.

171 Κηφισόδωρος, Λυκοῦργος ἐν τῷ κατὰ Μενεσαίχμου. κεκωμῴδηται δὲ οὗτος ὡς ὀνώδης. ἕτερος δ' ἂν εἴη Κηφισόδωρος ὁ ἵππαρχος, ὃς ἐν Μαντινείᾳ μετὰ Γρύλλου τοῦ Ξενοφῶντος ἀπέθανεν, οὗ μνημονεύει Δείναρχος ἐν τῷ κατὰ Καλλαίσχρου.

Κηφισόδοτος, Αἰσχίνης ἐν τῷ κατὰ Κτησιφῶντος. Ἀνδροτίων ἐν πέμπτῃ Ἀτθίδος ἱστορεῖ ὡς Ἀλωπεκόννησον πολιορκῶν ἀπεχειροτονήθη καὶ κριθεὶς ἑάλω καὶ ἀπέτισε πέντε τάλαντα.

Κιγκλὶς, Δημοσθένης ἐν τῷ κατ' Ἀριστογείτονος. αἱ τῶν δικαστηρίων θύραι κιγκλίδες ἐκαλοῦντο. Ἀριστοφάνης Δαιταλεῦσιν,

ὁ δ' Ἡλιαστὴς εἷρπε πρὸς τὴν κιγκλίδα.

Κίναδος, ἀντὶ τοῦ θηρίον. Δημοσθένης ἐν τῷ ὑπὲρ Κτησιφῶντος. ἔστι καὶ ἐν τῇ κωμῳδίᾳ, ὡς καὶ παρ' Ἀριστοφάνει· ἰδίως δέ φασι Σικελιώτας τὴν ἀλώπεκα καλεῖν κινάδιον.

Κινησίας. Λυσίου δύο λόγοι εἰσὶ πρὸς Κινησίαν, ἐν οἷς πολλάκις μνημονεύει τἀνδρὸς, λέγων ὡς ἀσεβέστατος εἴη καὶ παρανομώτατος καὶ ὅτι καὶ οἱ κωμῳδοδιδάσκαλοι καθ' ἕκαστον ἐνιαυτὸν γράφουσιν εἰς αὐτόν. (108) εἴη δ' ἂν οὗτος ὁ διθυραμβοποιὸς, οὗ μέμνηνται πολλά-

κις οἱ κωμικοὶ καὶ Στράττις ὅλον δρᾶμα ποιήσας εἰς 172
αὐτόν, ὅπερ ἐπεγράφη Κινησίας, ἐν ᾧ καὶ τὴν ἀσέβειαν
αὐτοῦ κωμῳδεῖ.

Κιῤῥαῖον πεδίον, Αἰσχίνης ἐν τῷ κατὰ Κτησιφῶντος. Κίῤῥα πόλις ἐστὶν ἀπέχουσα Δελφῶν σταδίους τριάκοντα. ἔοικεν οὖν Κιῤῥαῖον πεδίον καλεῖν ὁ ῥήτωρ τὸ ταύτῃ παρακείμενον τῇ πόλει.

Κισθήνη, Ἰσοκράτης Πανηγυρικῷ. ὄρος τῆς Θρᾴκης. Κρατῖνος·

κἀνθένδ' ἐπὶ τέρματα γῆς ἥξεις καὶ Κισθήνης ὄρος ὄψει.

Κιττοφόρος. ἔνιοι διὰ δύο σσ γράφουσι κισσοφόρος. τὰς γὰρ λεγομένας κίσσας ἱερὰς εἶναι ἔλεγον τοῦ Διονύσου καὶ ταῖν θεαῖν.

Κλιμάζει. Δείναρχος ἐν τῷ ἐπιγραφομένῳ Συνηγορία, Αἰσχίνης κατὰ Δεινίου· Ὅταν οὖν ἀπολογούμενος κλιμάζῃ καὶ παράγῃ τοὺς νόμους, ἀντὶ τοῦ παρακλίνῃ καὶ παρατρέπῃ. μήποτε δὲ δεῖ γράφειν βλιμάζει, ἵν' ᾖ οἷον θλίβει καὶ βιάζεται.

Κληροῦχοι, Δημοσθένης ἐν ὀγδόῳ Φιλιππικῶν.
κληροῦχοι ἐκαλοῦντο οὓς Ἀθηναῖοι ἔπεμπον ἐπὶ τὰς 173
πόλεις ἃς ἐλάμβανον, κλήρους ἑκάστοις διανεμοῦντας. Ἰσοκράτης Πανηγυρικῷ· Ὑπὲρ ὧν προσήκει τοὺς εὖ φρονοῦντας μεγάλην χάριν ἔχειν πολὺ μᾶλλον ἢ τὰς κληρουχίας ἡμῖν ὀνειδίζειν, ἃς ἡμεῖς εἰς τὰς ἐρημουμένας τῶν πόλεων φυλακῆς ἕνεκα τῶν χωρίων, ἀλλ' οὐ διὰ πλεονεξίαν ἐξεπέμπομεν. ἐν δὲ τῷ περὶ τῶν Συμμοριῶν Δημοσθένης κληρουχικὰ ἂν λέγοι τὰ τῶν ἐκπεμφθέντων εἰς ἑτέραν χώραν ἡντιναδήποτε κατὰ κληρουχίαν. πῶς γὰρ οἷόν τε τὸν μὴ ἐπιδημοῦντα Ἀθήνησι τριηραρχεῖν;

Κλῆσις, ἡ πρόσκλησις, τουτέστι παραγγελία εἰς
κρίσιν. Δημοσθένης ἐν τῷ κατ' Ἀριστοκράτους. ὅτι
μέντοι καὶ προσκλήσεις ἔλεγον ὁ αὐτὸς ἐν τῷ περὶ (104)
Ἁγνίου κλήρου δηλοῖ.

Κλητῆρες καὶ κλητεύειν. κλητῆρες μὲν οἱ ἄνδρες δι' ὧν εἰς τὰς δίκας προσκαλοῦνται οἱ διαδικα-

ζόμενοί τισιν. ἔδει γὰρ παρεῖναί τινας ὥσπερ μάρτυρας
τῆς προσκλήσεως. Ἰσαῖος ἐν τῷ πρὸς Νικοκλέα περὶ
χωρίου· πολὺ δέ ἐστιν ὅλως τοὔνομα παρά τε τοῖς ῥή-
τορσι καὶ ἐν τῇ ἀρχαίᾳ κωμῳδίᾳ. κλητεῦσαι δέ ἐστι
174 τὸ κλητῆρα γενέσθαι, ὡς Ἰσαῖος ἐν τῷ κατὰ Κλεομέδον-
τος. λέγεται κλητεύεσθαι καὶ ἐκκλητεύεσθαι ἐπὶ τῶν
μαρτύρων, ὅταν μὴ ὑπακούωσι πρὸς τὴν μαρτυρίαν ἐν
τοῖς δικαστηρίοις, καὶ ἔστιν ἐπιτίμιον κατ' αὐτῶν δραχ-
μαὶ χίλιαι, ὡς Ἰσαῖος ἐν τῷ ὑπὲρ Πύθωνος ἀποστασίου.

Κοβαλεία, Δείναρχος ἐν τῇ κατὰ Πυθέου εἰσαγ-
γελίᾳ. κοβαλεία ἐλέγετο ἡ προσποιητὴ μετὰ ἀπάτης παι-
διά, καὶ κόβαλος ὁ ταύτῃ χρώμενος. ἔοικε δὲ συνώνυ-
μον τῷ βωμολόχῳ. Φιλόχορος ἐν δευτέρῳ Ἀτθίδος· οὐ
γάρ, ὥσπερ ἔνιοι λέγουσι, βωμολόχον τινὰ καὶ κόβαλον
νομιστέον τὸν Διόνυσον. Ἀριστοτέλης δὲ ἐν ὀγδόῃ ζώων
ἱστορίας τὸν ὦτόν φησι κόβαλον καὶ μιμητὴν ὄντα
ἀντορχούμενον ἁλίσκεσθαι.

Κόβαλοι, δαίμονές εἰσί τινες σκληροὶ περὶ τὸν
Διόνυσον.

Κοινὸν γραμματεῖον καὶ ληξιαρχικόν. τὸ
μὲν κοινὸν γραμματεῖόν ἐστιν εἰς ὃ ἐνεγράφοντο οἱ
εἰσαγόμενοι εἰς τοὺς φράτορας καὶ γεννητάς, τὸ δὲ
175 ληξιαρχικὸν εἰς ὃ ἐνεγράφοντο οἱ εἰς τοὺς δήμους ἐγγρα-
φόμενοι, ὡς δεικνύουσιν ἄλλοι τε ῥήτορες καὶ Ἰσαῖος
ἐν τῷ περὶ τοῦ Ἀπολλοδώρου κλήρου.

Κοινωνικῶν. Δημοσθένης ἐν τῷ περὶ τῶν Συμ-
μοριῶν κοινωνικοὺς ἂν λέγοι τάχα μὲν τοὺς ἀνέμικτον
οὐσίαν ἔχοντας ἀδελφούς, ὧν ὁ μὲν πατὴρ ἐδύνατο
λειτουργεῖν, οἱ δὲ κληρονόμοι τῶν ἐκείνου καθ' ἕνα
(105) τριηραρχεῖν οὐκ ἐξήρκουν· τάχα δὲ καὶ περὶ τῶν ἑκού-
σιον κοινωνίαν συνθεμένων ἐμπορίας, ἤ τινος ἄλλου
ὧν ἕκαστος οὐκ εἶχε τὸ ὅλον τίμημα τῆς κοινῆς οὐσίας.

Κοιρωνίδαι. ἔστι Λυκούργῳ λόγος οὕτως ἐπι-
γραφόμενος, Κροκωνιδῶν διαδικασία πρὸς Κοιρωνίδας,
ὃν ἔνιοι Φιλίνου νομίζουσιν. ἔστι δὲ γένος οἱ Κοιρω-
νίδαι, περὶ ὧν Ἴστρος ἐν τῇ συναγωγῇ τῆς Ἀτθίδος

φησίν. ὠνομασμένον δ' ἂν εἴη ἀπὸ Κοίρωνος, ὃν νόθον ἀδελφὸν εἶναί φασι τοῦ Κρόκωνος· παρ' ὃ καὶ ἐντιμοτέρους εἶναι τοὺς Κροκωνίδας τῶν Κοιρωνιδῶν. ὁ δὲ τὸν λόγον γεγραφὼς ὅστις ποτέ ἐστιν τρισὶν ὀνόμασί φησιν αὐτοὺς προσηγορεῦσθαι, καὶ γὰρ Κοιρωνίδας καὶ Φιλιεῖς καὶ Περιθοίδας.

Κολυττεύς, Αἰσχίνης ἐν τῷ κατὰ Τιμάρχου. δῆ- 176
μός ἐστι τῆς Αἰγηΐδος φυλῆς Κολυττός.

Κολωνίτας, Ὑπερίδης ἐν τῷ πρὸς Ἀπελλαῖον περὶ τοῦ θησαυροῦ. τοὺς μισθωτοὺς Κολωνίτας ὠνόμαζον, ἐπειδὴ παρὰ τῷ Κολωνῷ εἱστήκεισαν, ὅς ἐστι πλησίον τῆς ἀγορᾶς, ἔνθα τὸ Ἡφαίστειον καὶ τὸ Εὐρυσάκειόν ἐστι. ἐκαλεῖτο δὲ ὁ Κολωνὸς οὗτος ἀγοραῖος. ἦν δὲ καὶ ἕτερος Κολωνὸς πρὸς τὸ τοῦ Ποσειδῶνος ἱερὸν, ὡς Ὑπερίδης ἐν τῷ κατ' Αὐτοκλέους. οὗτος δ' ἂν εἴη ὁ τῶν ἱππέων. Φερεκράτης ἐν Πετάλῃ· Οὗτος πόθεν ἥκεις ἐς Κολωνὸν, ἢ μὴν οὐ τὸν ἀγοραῖον, ἀλλὰ τὸν τῶν ἱππέων. Δημοσθένης ἐν τοῖς Κολωνῆθέν φησι. περὶ τῶν Κολωνῶν Διόδωρός τε ὁ περιηγητὴς καὶ Φιλόχορος ἐν τρίτῃ Ἀτθίδος διεξῆλθε.

Κομιστικὰ πλοῖα, Ὑπερίδης ἐν τῷ περὶ τῆς φυλακῆς τῶν τριηρῶν. ἔοικε καλεῖσθαι κομιστικὰ πλοῖα ἐν οἷς ἐκόμιζον οἱ τύραννοι τὰ ληφθέντα λάφυρα, ὡς αὐτὸς ὁ ῥήτωρ ὑποσημαίνει ἐν τῷ τριακοστῷ λόγῳ.

Κόμματα καὶ κυρήβια, Δείναρχος ἐν τῇ κατὰ Καλλισθένους εἰσαγγελίᾳ. τὰ μὲν κυρήβιά εἰσι τὰ πί- 177
τυρα· τὰ δὲ κόμματα ἔοικεν εἶναι μέρη τινὰ ἢ τῆς καλάμης ἢ τῶν περὶ τὸν σῖτον αὐτὸν ἐν τῷ στάχυϊ γι- (106)
νομένων ἢ τῶν ἀνθερίκων.

Κορδακισμός, Δημοσθένης Φιλιππικοῖς. ὁ κόρδαξ κωμικῆς ὀρχήσεώς ἐστιν εἶδος, καθάπερ φησὶν Ἀριστόξενος ἐν τῷ περὶ τῆς τραγικῆς ὀρχήσεως. ἔστι τοὔνομα καὶ ἐν τῇ ἀρχαίᾳ κωμῳδίᾳ, ὡς παρὰ Νικοφῶντι.

Κοροπλάθος, Ἰσοκράτης ἐν τῷ περὶ τῆς ἀντιδόσεως. τοὺς ἐκ πηλοῦ ἢ κηροῦ ἤ τινος τοιαύτης ὕλης πλάττοντας κόρας ἢ κούρους οὕτως ὠνόμαζον.

Κορσίαι, *Δημοσθένης ἐν τῷ κατ' Αἰσχίνου. πόλις ἐστὶ τῆς Βοιωτίας Κορσίαι, ὡς Θεόπομπος ἐν τῇ τριακοστῇ.*

Κοτύλαιον ὄρος, *Αἰσχίνης ἐν τῷ κατὰ Κτησιφῶντος. ἔοικε τὸ ὄρος τῆς Εὐβοίας εἶναι. Ἀρχέμαχος γοῦν ἐν τρίτῃ Εὐβοεικῶν φησι· Κότυλος μὲν οὖν φαίνεται κατασχεῖν τὸ ὄρος τὸ νῦν ἀπ' ἐκείνου Κοτύλαιον καλούμενον.*

178 **Κότυς**, *Δημοσθένης ἐν τῷ κατ' Ἀριστοκράτους. οὗτος ἦρξε τῆς Θρᾴκης ἔτη εἰκοσιτέσσαρα· διῆγε δὲ τὰ μὲν πρῶτα ἐν τρυφαῖς καὶ ἡδυπαθείαις, ἔπειτα αὔξησιν λαμβανούσης αὐτῷ τῆς εὐπραγίας εἰς ὠμότητα καὶ ὀργὴν ἐξηνέχθη, ὡς καὶ τὴν γυναῖκα, ἐξ ἧς αὐτῷ ἦν τέκνα, διέκοψε μέσην ταῖς αὐτοῦ χερσὶν ἀπὸ τῶν αἰδοίων ἀρξάμενος.*

Κραναλλίδαι, *Αἰσχίνης ἐν τῷ κατὰ Κτησιφῶντος. Δίδυμός φησι δεῖν γράφεσθαι Κραυγαλλίδαι, οὕτω γὰρ λέγεσθαι τὴν ἐν Φωκεῦσι πλησίον Κιῤῥας χώραν Κραυγάλλιον, ὡς καὶ Ξεναγόρας ἐν τετάρτῳ χρόνων ἱστορεῖ.*

Κρᾶστις, *Δείναρχος ἐν τῷ πρὸς Λυσικράτην. Κρᾶστίς ἐστιν ἡ πόα, ὡς καὶ Ἀριστοφάνης.*

Κριθωτὴν, *Δημοσθένης ἐν τῷ κατ' Ἀριστοκράτους. Κριθωτὴ μία πόλις τῶν ἐν Χεῤῥονήσῳ, καθά φησιν Ἑλλάνικος ἐν πρώτῃ Τρωϊκῶν. Ἔφορος δ' ἐν τῇ τετάρτῃ φησὶν, αὐτὴν κατοικισθῆναι ὑπὸ Ἀθηναίων τῶν μετὰ Μιλτιάδου ἐκεῖ παραγενομένων.*

Κριωεὺς, *Δημοσθένης ἐν τῷ πρὸς Φαίνιππον.*
(107) *δῆμός ἐστι τῆς Ἀντιοχίδος Κριώα, ὥς φησι Διόδωρος*
179 *ἐν τῷ περὶ τῶν Δήμων.*

Κρώβυλος, *Αἰσχίνης ἐν τῷ κατὰ Κτησιφῶντος. Ἡγήσιππος μέν ἐστιν ὁ Κρώβυλος ἐπικαλούμενος. κυρίως δὲ εἶδός τι ἐμπλοκῆς ἐστιν ὁ κρώβυλος, καθά φησι Θουκυδίδης ἐν τῇ πρώτῃ.*

Κτησίου Διὸς, *Ὑπερίδης ἐν τῷ πρὸς Ἀπελλαῖον. Κτήσιον Δία ἐν τοῖς ταμείοις ἵδρυντο. Μένανδρος Ψευδηρακλεῖ·*

νῦν δ᾽ εἰς γυναικωνῖτιν εἰσιόνθ᾽ ὅταν
ἴδω παράσιτον, τὸν δὲ Δία τὸν κτήσιον
ἔχοντα τὸ ταμιεῖον οὐ κεκλεισμένον,
ἀλλ᾽ εἰστρέχοντα πορνίδια.

Κτησιφῶν. Δημοσθένης ἐν τῷ κατ᾽ Αἰσχίνου. τὸ μὲν γὰρ ἐξαρχῆς ἄχρι τοῦ λόγου τυχεῖν Φίλιππον ὑπὲρ τῆς εἰρήνης, Κτησιφῶν καὶ Ἀριστόδημος τὴν πρώτην ἔφερον τοῦ φενακισμοῦ. εἷς τῶν δέκα πρέσβεων τῶν μετὰ Δημοσθένους καὶ Αἰσχίνου πρεσβευσάντων ἦν οὗτος· ἑκάτερος γοῦν τῶν ῥητόρων ἐν τῷ περὶ τῆς παραπρεσβείας πολλάκις αὐτοῦ μνημονεύει. ἕτερος δ᾽ ἂν εἴη τις ὁ τὸ ψήφισμα τὸ περὶ τοῦ στεφάνου γεγραφὼς Δημοσθένει, καθ᾽ οὗ λόγος ἐστὶ τῷ Αἰσχίνῃ ὁ 180
κατὰ Κτησιφῶντος.

Κυδαθηναιεύς, Ὑπερίδης ἐν τῷ ὑπὲρ τοῦ Ἱππέως κλήρου. Κυδαθήναιον δῆμός ἐστι φυλῆς Πανδιονίδος, ἀφ᾽ οὗ ὁ δημότης Κυδαθηναιεύς.

Κυδαντίδης, Ὑπερίδης ἐν τῷ πρὸς Πολύευκτον. δῆμός ἐστι τῆς Αἰγηΐδος Κυδαντίδαι.

Κυθήριος, Δημοσθένης ἐν τῷ πρὸς Φαίνιππον. Κύθηρον δῆμος τῆς Πανδιονίδος, ἀφ᾽ οὗ ὁ δημότης λέγεται Κυθήριος.

Κύθνιοι, Δημοσθένης ἐν τῷ περὶ συντάξεως. (108)
Κύθνος μία τῶν Κυκλάδων νήσων, ὡς Ἀριστοτέλης ἐν τῇ Κυθνέων πολιτείᾳ.

Κύκλοι, Δείναρχος ἐν τῷ κατὰ Καλλαίσχρου. κύκλοι ἐκαλοῦντο οἱ τόποι ἐν οἷς ἐπωλοῦντό τινες. ὠνομάσθησαν δὲ ἀπὸ τοῦ κύκλῳ περιεστάναι τοὺς πωλουμένος. Μένανδρος Ἐφεσίῳ,

ἐγὼ μὲν οὖν ἤδη μοι δοκῶ νὴ τοὺς θεοὺς
ἐν τοῖς κύκλοις ἐμαυτὸν ἐκδεδυκότα
ὁρᾶν κύκλῳ τρέχοντα καὶ πωλούμενον.

Κύμβιον, Δημοσθένης ἐν τῷ κατὰ Μειδίου. εἶδός τι ἐκπώματος τὸ κύμβιον. φησὶ δὲ Δίδυμος ἐπίμηκες

181 αὐτὸ εἶναι καὶ στενὸν καὶ τῷ σχήματι παρόμοιον τῷ πλοίῳ ὃ καλεῖται κύμβιον.

Κυνίδαι, Λυκοῦργος ἐν τῇ διαδικασίᾳ Κροκωνιδῶν πρὸς Κοιρωνίδας. γένος ἐστὶ παρ' Ἀθηναίοις οἱ Κυνίδαι.

Κυνόσαργες, Δημοσθένης ἐν τῷ κατὰ Τιμοκράτους. ἓν τῶν παρ' Ἀθηναίοις γυμνασίων τὸ Κυνόσαργες.

Κυπρόθεμις, ὄνομα κύριον. Δημοσθένης ἐν τῷ περὶ τῆς τῶν Ῥοδίων ἐλευθερίας. Σάμον δὲ φρουρουμένην ὑπὸ Κυπροθέμιδος, ὃν κατέστησε Τιγράνης ὁ βασιλέως ὕπαρχος.

Κύπασσις, Λυσίας ἐν τῷ ὑπὲρ Βακχίου καὶ Πυθαγόρου, εἰ γνήσιος. οἱ γλωσσογράφοι χιτῶνος εἶδός φασιν αὐτὸν εἶναι τὸν κύπασσιν, οἱ μὲν γυναικείου, οἱ δὲ ἀνδρείου. μέμνηται δ' αὐτοῦ Ἱππῶναξ τε καὶ Ἑκαταῖος ἐν περιόδῳ Εὐρώπης λέγων, Κίσσιοι δὲ ἐσθῆτα φορέουσι κυπάσσεις Περσικάς· καὶ Ἀριστοφάνης ἐν τοῖς Ταγηνισταῖς.

Κύρβεις, Λυκοῦργος ἐν τῷ περὶ τῆς Ἱερείας. κύρβεις φησὶν Ἀπολλόδωρος ἐν τοῖς περὶ θεῶν ἔχειν
(109) ἐγγεγραμμένους τοὺς νόμους. εἶναι δ' αὐτοὺς λίθους
182 ὀρθοὺς ἑστῶτας, ὡς ἀπὸ μὲν τῆς στάσεως στήλας, ἀπὸ δὲ τῆς εἰς ὕψος ἀναστάσεως διὰ τὸ κεκορυφῶσθαι κύρβεις ἐκάλουν, ὥσπερ καὶ κυρβασίαν τὴν ἐπὶ τῆς κεφαλῆς τιθεμένην. Ἀριστοτέλης δ' ἐν τῇ Ἀθηναίων πολιτείᾳ φησίν· Ἀναγράψαντες δὲ τοὺς νόμους εἰς τοὺς κύρβεις ἔστησαν ἐν τῇ στοᾷ τῇ βασιλείᾳ.

Κυρεῖον, Ἰσοκράτης Πανηγυρικῷ. Κυρεῖον στράτευμα, τὸ κατὰ Κύρου συναναβεβηκὸς ὅτε ἐστράτευσεν ἐπὶ τὸν ἀδελφὸν Ἀρταξέρξην, οὗ μετεῖχε καὶ Ξενοφῶν.

Κυρηβίων, Δημοσθένης ἐν τῷ κατ' Αἰσχίνου. ὅτι δ' ἐπώνυμόν ἐστι τοῦτο Ἐπικράτους τοῦ Αἰσχίνου κηδεστοῦ καὶ ἐν ἄλλοις δεδήλωται.

Κυρία ἐκκλησία, Ὑπερίδης ἐν τῷ κατὰ Δημέου ξενίας, εἰ γνήσιος. τίνες δὲ αἱ κυρίαι ἐκκλησίαι, Ἀριστο-

τέλης δεδήλωκεν ἐν τῇ Ἀθηναίων πολιτείᾳ, λέγων τοὺς πρυτάνεις συνάγειν τὴν βουλὴν καὶ τὸν δῆμον, ἢ τὴν βουλὴν ὁσημέραι, πλὴν ἐάν τις ἀφέσιμος ᾖ, τὸν δὲ δῆμον τετράκις τῆς πρυτανείας ἑκάστης. προσγράφουσι δὲ, φησὶ, καὶ κυρίαν ἐκκλησίαν, ἐν ᾗ δεῖ τὰς ἀρχὰς ἀποχειροτονεῖν οἳ δοκοῦσι μὴ καλῶς ἄρχειν, καὶ περὶ φυ- 183
λακῆς τῆς χώρας καὶ τὰς εἰσαγγελίας ἐν ταύτῃ τῇ ἡμέρᾳ τοὺς βουλομένους ποιεῖσθαί φησι, καὶ τὰ ἑξῆς.

Κυρσίλον. Δημοσθένης ἐν τῷ ὑπὲρ Κτησιφῶντος· τὸν μὲν ταῦτα συμβουλεύσαντα Θεμιστοκλέα στρατηγὸν ἑλόμενοι, τὸν δὲ ὑπακούειν ἀποφηνάμενον Κυρσίλον καταλιθώσαντες.

Κωδία. τὴν τῆς μήκωνος κεφαλὴν οὕτω καλοῦσιν. Ἀριστοφάνης Γεωργοῖς,

ἀγαθήν γε κωδίαν,

Κωλιὰς, Δημοσθένης ἐν τῷ κατὰ Νεαίρας, εἰ (110)
γνήσιος. ἐπιθαλασσία ἄκρα Ἀττική ἐστιν ἡ Κωλιὰς, ἐκ μεταφορᾶς τοῦ κώλου ὠνομασμένη. ἔστι δ' αὐτόθι Ἀφροδίτης ἱερόν. μέμνηται Ἀριστοφάνης κατ' ἀρχὴν τῆς Λυσιστράτης.

Λ.

Λαγίσκα, Λυσίας ἐν τῷ πρὸς Λαΐδα, εἰ γνήσιος. Λαγίσκας τῆς ἑταίρας μνημονεύει καὶ Στράττις ὁ κωμικὸς οὕτω,

Λαγίσκαν τὴν Ἰσοκράτους παλλακὴν
ἰδεῖν με συκάζουσαν εὐναίαν ἔτι,
τόν τ' αὐλοτρύπην αὐτόν.

184 Λαμπάδιον, ἣν νῦν ἡμεῖς λαμπάδα καλοῦμεν, οὕτως ὠνόμαζον. Δείναρχος ἐν τῷ κατὰ Πυθέου καὶ Πλάτων ἐν πρώτῳ τῆς πολιτείας.

Λαμπάς, Λυσίας ἐν τῷ κατ' Εὐφήμου. τρεῖς ἄγουσιν Ἀθηναῖοι ἑορτὰς λαμπάδος, Παναθηναίοις καὶ Ἡφαιστείοις καὶ Προμηθείοις, ὡς Πολέμων φησὶν ἐν τῷ περὶ τῶν ἐν τοῖς προπυλαίοις πινάκων. Ἴστρος δ' ἐν πρώτῃ τῶν Ἀτθίδων εἶπεν ὡς ἐν τῇ τῶν Ἀπατουρίων ἑορτῇ Ἀθηναίων οἱ καλλίστας στολὰς ἐνδεδυκότες λαβόντες ἡμμένας λαμπάδας ἀπὸ τῆς ἑστίας ὑμνοῦσι τὸν Ἥφαιστον θύοντες, ὑπόμνημα τοῦ κατανοήσαντος τὴν χρείαν τοῦ πυρὸς διδάξαι τοὺς ἄλλους.

Λαμπτρεῖς, Δημοσθένης ἐν τῷ πρὸς Κάλλιππον. Λαμπτραὶ δῆμος τῆς Ἐρεχθηΐδος, ὡς Διόδωρός φησι. δύο δέ εἰσι Λαμπτραί, αἱ μὲν παράλιαι, αἱ δὲ καθύπερθεν. Ἀριστοφάνης Ἀμφιάρεῳ, Λαμπτρεὺς ἔγωγε τῶν κάτω.

(111) Λάρκος, Λυσίας ἐν τῷ πρὸς Καλλιππίδην. λάρκος ἐστὶ φορμὸς εἰς ὃν ἄνθρακας ἐνέβαλλον. κέχρηνται τῷ ὀνόματι ἄλλοι τε καὶ Ἀριστοφάνης Ἀχαρνεῦσι.

185 Λαρυγγίζειν, τὸ πλατύνειν τὴν φωνὴν καὶ μὴ κατὰ φύσιν φθέγγεσθαι, ἀλλ' ἐπιτηδεύειν περιεργότερον

τῷ λάρυγγι χρῆσθαι, οὕτως ἐλέγετο. Δημοσθένης ἐν τῷ ὑπὲρ Κτησιφῶντος.

Λεμβάδεια, Λυκοῦργος ἐν τῷ κατὰ Λυσικλέους. πόλις ἐστὶ τῆς Βοιωτίας.

Λέμβος, Δημοσθένης ἐν τῷ πρὸς Ζηνόθεμιν. εἶδος νεὼς ὁ λέμβος· πολλάκις δὲ εἴρηται ἐν τῇ κωμῳδίᾳ.

Λέσχαι, Ἀντιφῶν ἐν τῷ πρὸς Νικοκλέα. λέσχας ἔλεγον δημοσίους τινὰς τόπους ἐν οἷς σχολὴν ἄγοντες ἐκαθέζοντο πολλοί. Ὅμηρος,

οὐ δὲ θέλεις εὕδειν χαλκήϊον ἐς δόμον ἐλθών,
ἠέ που ἐς λέσχην.

Κλεάνθης ἐν τῷ περὶ Θεῶν ἀπονενεμῆσθαι τῷ Ἀπόλλωνι τὰς λέσχας φησίν· ἐξέδραις δὲ ὁμοίας γίνεσθαι αὐτὰς, καὶ παρ' ἐνίοις τὸν θεὸν Λεσχηνόριον ἐπικαλεῖσθαι.

Λευκάς, Δημοσθένης ἐν ἐννάτῳ Φιλιππικῶν. νῆσός ἐστι πρὸς τῆς Ἠπείρου κειμένη. διείλεκται δὲ περὶ τῆς ἀκτῆς ἀκριβέστερον Στράβων ἐν τῷ δεκάτῳ τῶν γεωγραφουμένων. ἐν μέσῳ δὲ καὶ τὸ Μενάνδρου δρᾶμα ἡ Λευκαδία.

Λεύκη, Δημοσθένης ἐν τῷ ὑπὲρ Κτησιφῶντος· 186
Ἐστεφανωμένους τῷ μαράθῳ καὶ τῇ λεύκῃ. οἱ τὰ Βακχικὰ τελούμενοι τῇ λεύκῃ στέφονται, αὐτοχθόνιον μὲν εἶναι τὸ φυτὸν, χθόνιον δὲ καὶ τὸν τῆς Περσεφόνης Διόνυσον. τὴν δὲ λεύκην πεφυκέναι φασὶ πρὸς τῷ Ἀχέροντι, ὅθεν καὶ ἀχερωΐδα καλεῖσθαι παρ' Ὁμήρῳ,

ἤριπε δ' ὡς ὅτε τις δρῦς ἤριπεν, ἢ ἀχερωΐς, (112)
ἠὲ πίτυς βλωθρή.

Λευκὴ ἀκτή, Λυσίας ἐν τῷ πρὸς Ἀλκιβιάδην. πλειόνων οὐσῶν Λευκῶν, ὡς Δημήτριος ὁ Μάγνης δηλοῖ, ἔοικε τῆς ἐν Προποντίδι μνημονεύειν ὁ ῥήτωρ νῦν.

Λευκονοιεύς, Δημοσθένης ἐν τῷ κατὰ Ἀφόβου. Λευκόνοιον δῆμος τῆς Λεοντίδος, ὡς Διόδωρός φησι.

Λεῦκτρα, Δημοσθένης ἐν τῷ ὑπὲρ Κτησιφῶντος. ἔστι δὲ χωρίον Βοιώτιον παρὰ Θεσπιάς.

Λέχαιον. ἐν τῇ Μειξιδήμου ἀπολογίᾳ φησὶ Λυσίας ὅτι τὸ Λέχαιον ἑάλω Μνασίππου ἄρχοντος. ἔστι δὲ τὸ Λέχαιον ἐπίνειον Κορινθίων, καθά φησι Στράβων ἐν ὀγδόῃ γεωγραφουμένων.

187 *Λεωκόρειον*, Δημοσθένης ἐν τῷ κατὰ Κόνωνος. τὸ δὲ Λεωκόριον εἶναί φησι Φανόδημος ἐνάτῳ Ἀτθίδος ἐν μέσῳ τῷ Κεραμεικῷ.

Ληξιαρχικὸν γραμματεῖον, Αἰσχίνης ἐν τῷ κατὰ Τιμάρχου, εἰς ὃ ἐνεγράφοντο οἱ τελεσθέντες τῶν παίδων, οἷς ἐξῆν ἤδη τὰ πατρῷα οἰκονομεῖν, παρ' ὃ καὶ τοὔνομα γεγονέναι, διὰ τὸ τῶν λήξεων ἄρχειν. λήξεις δέ εἰσιν οἵ τε κλῆροι καὶ αἱ οὐσίαι, ὡς καὶ Δείναρχος ἐν τῇ πρώτῃ καθ' Ἡγελόχου συνηγορίᾳ ὑπὲρ ἐπικλήρου.

Λῆξις, τὸ ἔγκλημα, καθ' ὃν λόγον φαμὲν λαχεῖν δίκην. Ἰσαῖος ἐν τῇ πρὸς Βοιωτὸν ἐφέσει.

Λητή, Ὑπερίδης κατὰ Δημάδου. Λητὴ πόλις ἐστὶ τῆς Μακεδονίας. μνημονεύει δὲ αὐτῆς πολλάκις Μαρσύας ὁ νεώτερος ἐν ἕκτῃ Μακεδονικῶν.

Λίθος, Δημοσθένης ἐν τῷ κατὰ Κόνωνος. τῶν τε παρόντων καθ' ἕνα ἡμῖν ουτωσὶ καὶ πρὸς τὸν λίθον ἄγοντες καὶ ἐξορκοῦντες. ἐοίκασι δ' Ἀθηναῖοι πρός τινι (113) λίθῳ τοὺς ὅρκους ποιεῖσθαι, ὡς Ἀριστοτέλης ἐν τῇ Ἀθηναίων πολιτείᾳ καὶ Φιλόχορος ἐν τῷ τρίτῳ ὑποσημαίνουσιν.

188 *Λικνοφόρος*, Δημοσθένης ἐν τῷ ὑπὲρ Κτησιφῶντος. τὸ λίκνον πρὸς πᾶσαν τελετὴν καὶ θυσίαν ἐπιτήδειόν ἐστιν. ὁ τοῦτο οὖν φέρων λικνοφόρος λέγοιτ' ἄν. λίκνον τὸ πτύον.

Λιπάρα, Δείναρχος Τυρρηνικῷ. μία τῶν καλουμένων Αἰόλου νήσων περὶ τὴν Σικελίαν ἡ Λιπάρα, ὡς Εὔδοξος ἐν ή περιόδου.

Λογισμός, ἡ λογιστικὴ τέχνη. Ἰσοκράτης Βουσίριδι.

Λογισταὶ καὶ λογιστήρια, ἀρχή τις παρ' Ἀθηναίοις οὕτω καλουμένη. εἰσὶ δὲ τὸν ἀριθμὸν δέκα,

οἱ τὰς εὐθύνας τῶν διῳκημένων ἐκλογίζονται ἐν ἡμέραις τριάκοντα, ὅταν τὰς ἀρχὰς ἀποθῶνται οἱ ἄρχοντες. Δημοσθένης ἐν τῷ ὑπὲρ Κτησιφῶντος. διείλεκται περὶ τούτων Ἀριστοτέλης ἐν τῇ Ἀθηναίων πολιτείᾳ, ἔνθα δείκνυται ὅτι διαφέρουσι τῶν εὐθυνῶν. μέμνηνται τῆς ἀρχῆς καὶ οἱ κωμικοί. Εὔπολις Πόλεσιν,

ἄνδρες λογισταὶ τῶν ὑπ' εὐθυνῶν χορῶν.

λογιστήρια δ' ἐστὶ τὰ τῶν λογιστῶν ἀρχεῖα, ὡς Δείναρχος ἐν τῷ κατὰ Τιμοκράτους καὶ Ἀνδοκίδης ἐν τῷ περὶ τῶν Μυστηρίων δηλοῦσιν.

Λογοποιός, ὁ ὑφ' ἡμῶν ἱστορικὸς λεγόμενος. 189
Ἰσοκράτης Βουσίριδι καὶ Ἡρόδοτος ἐν τῷ δευτέρῳ.

Λόγου τυχεῖν, ἀντὶ τοῦ ἐπαίνου. Δημοσθένης ἐν τῷ ὑπὲρ Κτησιφῶντος.

Λοιδίας, Αἰσχίνης ἐν τῷ περὶ τῆς παραπρεσβείας. ὅτι τῆς Μακεδονίας ἐστὶ ποταμὸς ἄλλοι τε ἱστοροῦσι καὶ Ἑκαταῖος ἐν περιόδῳ Εὐρώπης.

Λουτροφόρος καὶ λουτροφορεῖν. ἔθος ἦν τοῖς γαμοῦσι λουτρὰ μεταπέμπεσθαι ἑαυτοῖς κατὰ τὴν (114)
τοῦ γάμου ἡμέραν· ἔπεμπον δ' ἐπὶ ταῦτα τὸν ἐγγυτάτω γένους παῖδα ἄῤῥενα, καὶ οὗτοι ἐλουτροφόρουν. ἔθος δὲ ἦν καὶ τοῖς ἀγάμοις ἀποθανοῦσι λουτροφορεῖν καὶ ἐπὶ τὸ μνῆμα ἐφίστασθαι. τοῦτο δὲ ἦν παῖς ὑδρίαν ἔχων. λέγει περὶ τούτων Δείναρχος ἔν τε τῷ κατὰ Θεοδότου καὶ ἐν τῇ κατὰ Καλλισθένους εἰσαγγελίᾳ. ὅτι δὲ τὰ λουτρὰ ἐκόμιζον ἐκ τῆς νῦν μὲν Ἐννεακρούνου καλουμένης κρήνης, πρότερον δὲ Καλλιρόης, Πολυστέφανος ἐν τῷ περὶ κρηνῶν φησι, μέμνηνται δὲ τοῦ ἔθους οἱ κωμικοί.

Λουσιεύς, Ὑπερίδης ἐν τῷ πρὸς τὴν Δημέου γραφήν. δῆμός ἐστι τῆς Οἰνηΐδος Λουσία, ἀφ' ἧς ὁ δη- 190
μότης Λουσιεύς, ὡς Διόδωρός φησι.

Λύκειον, Δημοσθένης ἐν τῷ κατὰ Τιμοκράτους. ἓν τῶν παρ' Ἀθηναίοις γυμνασίων ἐστὶ τὸ Λύκειον, ὃ Θεόπομπος μὲν ἐν τῇ κα' Πεισιστράτου ποιῆσαι, Φιλό-

χορος δ' ἐν τῇ τετάρτῃ Περικλέους φησὶν ἐπιστατοῦντος αὐτὸ γενέσθαι.

Λυκιουργεῖς, Δημοσθένης ἐν τῷ πρὸς Τιμόθεον. Δίδυμός φησι τὰς ὑπὸ Λυκίου κατεσκευασμένας φιάλαις, τοῦ Μύρωνος υἱοῦ, οὕτως εἰρῆσθαι· ἀγνοεῖν δὲ ἔοικεν ὁ γραμματικὸς ὅτι τὸν τοιοῦτον σχηματισμὸν ἀπὸ κυρίων ὀνομάτων οὐκ ἄν τις εὕροι γινόμενον, μᾶλλον δὲ ἀπὸ πόλεων καὶ ἐθνῶν, ὡς κλίνη Μιλησιουργής, Κριτίας φησὶν ἐν τῇ Λακεδαιμονίων πολιτείᾳ. μήποτ' οὖν γραπτέον καὶ παρ' Ἡροδότῳ ἐν τῇ ἑβδόμῃ ἀντὶ τοῦ προβόλους δύο Λυκοεργέας, Λυκιεργέας· ἵνα ὥσπερ παρὰ τῷ Δημοσθένει, οὕτως ὀνομάζηται τὰ ἐν Λυκίᾳ εἰργασμένα.

Λυκοῦργος, εἷς τῶν δέκα ῥητόρων, οὗ πάππος Λυκοῦργος ὁ νομοθέτης.

Λύσανδρος, ὄνομα κύριον. Λακεδαιμονίων ναύαρχος.

Λυσίμαχος, Δημοσθένης ἐν τῷ περὶ τῶν ἀτε-
191 λειῶν. ἦν δὲ Ἀριστείδου υἱὸς τοῦ δικαίου ἐπικληθέν-
(115) τος. ἕτερος δ' ἐστὶ Λυσίμαχος οὗ μνημονεύει Λυκοῦρ-
γος ἐν τῷ περὶ τῆς διοικήσεως ὡς εὐτελοῦς μελοποιοῦ.

M.

Μαιμακτηριών, ὁ πέμπτος μὴν παρ' Ἀθηναίοις. Δημοσθένης ἐν τῷ πρὸς Τιμόθεον. ὠνόμασται δὲ ἀπὸ Διὸς μαιμάκτου. μαιμάκτης δ' ἐστὶν ὁ ἐνθουσιώδης καὶ ταρακτικὸς, ὥς φησι Λυσιμαχίδης ἐν τῷ περὶ τῶν Ἀθήνησι μηνῶν. ἀρχὴν δὲ λαμβάνοντος τοῦ χειμῶνος ἐν τούτῳ τῷ μηνὶ, ὁ ἀὴρ ταράττεται καὶ μεταβολὴν ἴσχει.

Μακροκέφαλοι, Ἀντιφῶν ἐν τῷ περὶ ὁμονοίας. ἔθνος ἐστὶν οὕτω καλούμενον, οὗ καὶ Ἡσίοδος ἐν τρίτῳ Γυναικῶν καταλόγῳ μέμνηται. Παλαίφατος δ' ἐν ἑβδόμῃ Τρωϊκῶν ἐν τῇ Λιβύῃ φησὶν ὑπεράνω Κόλχων οἰκεῖν τοὺς Μακροκεφάλους.

Μαλακίζομεν. Δημοσθένης ἐν ἐννάτῳ Φιλιππικῶν φησι, Μένομεν καὶ μαλακιζόμεθα. ἐν ἐνίοις γράφεται μαλακίομεν, ὅπερ δηλοῖ τὸν ὅρον φρίττειν. Αἰσχύλος Ἑλλαδίῳ,

κεκμῆτι μαλακίων ποδί.

Μάλθη, ὁ μεμαλαγμένος κηρός. Δημοσθένης ἐν τῷ 192
κατὰ Στεφάνου. Ἱππῶναξ,

ἔπειτα μάλθῃ τὴν τρόπιν παραχρίσας.

Μαντινέων διοικισμὸς, Ἰσοκράτης ἐν τῷ περὶ τῆς εἰρήνης περὶ τῶν Λακεδαιμονίων λέγων φησὶ, Μαντινέας διῴκισαν. καὶ Ἔφορος ἐν τῇ εἰκοστῇ φησὶν ὅτι εἰς πέντε κώμας τὴν Μαντινέων διῴκισαν πόλιν Λακεδαιμόνιοι.

Μαργίτης. Αἰσχίνης ἐν τῷ κατὰ Κτησιφῶντος. (116)
ἐπωνυμίαν δὲ Ἀλεξάνδρῳ Μαργίτην ἔθεντο. καὶ Μαρσύας ἐν πέμπτῳ τῶν περὶ Ἀλέξανδρον ἱστορεῖ λέγων, Μαργίτην ὑπὸ Δημοσθένους καλεῖσθαι τὸν Ἀλέξανδρον. ἐκάλουν δὲ τοὺς ἀνοήτους οὕτω διὰ τὸν εἰς Ὅμηρον

ἀναφερόμενον Μαργίτην, ὅπερ ποίημα Καλλίμαχος θαυμάζειν ἔοικεν.

Μαρώνεια, Δημοσθένης ἐν τῇ πρὸς Πανταίνετον παραγραφῇ. τόπος ἐστὶ τῆς Ἀττικῆς· ἔστι μέντοι καὶ πόλις ἐν Θράκῃ Μαρώνεια, ἥν φασιν εἶναι τὴν ὑφ' Ὁμήρου Ἴσμαρον καλουμένην. μνημονεύουσι δὲ αὐτῆς Δημοσθένης τε ἐν τῷ πρὸς Πολυκλέα καὶ Ἔφορος ἐν τῇ τετάρτῃ.

Μασσαλία. Ἰσοκράτης μὲν φησιν ἐν Ἀρχιδάμῳ,
193 ὡς Φωκαεῖς φυγόντες τὴν τοῦ μεγάλου βασιλέως δεσποτείαν, εἰς Μασσαλίαν ἀπῴκισαν. ὅτι δὲ πρὸ τούτων τῶν χρόνων ἤδη ὑπὸ Φωκαέων ᾤκιστο ἡ Μασσαλία καὶ Ἀριστοτέλης ἐν τῇ Μασσαλιωτῶν πολιτείᾳ δηλοῖ.

Μάστειρα, ἐν ὀγδόῃ Φιλιππικῶν Δημοσθένης· τῶν μὲν ἐν Θράκῃ κακῶν, τί γὰρ ἂν ἄλλο τις εἴποι Δρογγίλον καὶ Καβύλην καὶ Μάστειραν; μήποτε γραπτέον Βάστειραν, ἢ Πίστειραν, ἢ Ἐπίμαστον, ἐπεὶ ταύτας τὰς πόλεις εὑρίσκομεν παρ' Ἀναξιμένει ἐν ἑβδόμῳ τῶν περὶ Φίλιππον, τὴν δὲ Μάστειραν οὐδαμοῦ μνήμης τυχοῦσαν.

Μαστῆρες, Ὑπερίδης ἐν τῷ πρὸς Πάγκαλον. ἔοικεν ἀρχή τις εἶναι ἀποδεδειγμένη ἐπὶ τὸ ζητεῖν τὰ κοινὰ τοῦ δήμου, ὡς οἱ Ζητηταὶ καὶ οἱ ἐν Πελλήνῃ Μάστροι, ὡς Ἀριστοτέλης ἐν τῇ Πελληνίων πολιτείᾳ.

Ματρυλεῖον, Δείναρχος ἐν τῷ κατὰ Προξένου. Ἡρακλείων καὶ Δίδυμος τόπον τινά φασιν εἶναι ἐν ᾧ γρᾶες διατρίβουσαι δέχονται τοὺς βουλομένους καταμεθυσθῆναι. Μένανδρος Ἐπιτρέπουσιν,

(117) οὐκ οἰμώξεται,
καταφθαρεὶς ἐν ματρυλείῳ τὸν βίον.

194 Μαχάτας, ὄνομα κύριον.

Μαύσωλος, Δημοσθένης ἐν τῷ κατὰ Τιμοκράτους, ὄνομα κύριον, ἄρχων Καρῶν· φησὶ δὲ αὐτὸν Θεόπομπος μηδενὸς ἀπέχεσθαι πράγματος, χρημάτων ἕνεκα.

Μέδιμνος, Δείναρχος ἐν τῷ κατὰ Καλλισθένους. μέτρον ἐστὶ ξηρῶν, οἷον πυρῶν ἢ κριθῶν· ἔχει δὲ χοίνικας ὀκτὼ καὶ τεσσαράκοντα, καθά φησι Νίκανδρος ὁ Θυατειρηνὸς ἐν τοῖς ἐξηγητικοῖς τῆς Ἀττικῆς διαλέκτου.

Μεθώνη, Δημοσθένης Φιλιππικοῖς. λέγοι ἂν τὴν ἐν Θράκῃ, ἣν πολιορκῶν Φίλιππος ἐξεκόπη τὸν δεξιὸν ὀφθαλμόν. Δημήτριος δ' ὁ Μάγνης ἐν ταῖς Συνωνύμοις πόλεσι τέσσαρας εἶναί φησι Μεθώνας.

Μεῖον καὶ Μειαγωγός, Ἰσαῖος ἐν τῷ πρὸς Στρατοκλέα· παρέστησε μεῖον. θῦμά ἐστιν ὃ τοῖς φράτορσι παρεῖχον οἱ τοὺς παῖδας εἰσάγοντες εἰς τούτους. Ἐρατοσθένης δ' ἐν τοῖς περὶ κωμῳδίας φησὶν οὕτως· νόμου ὄντος μὴ μεῖον εἰσάγειν ὡρισμένου τινός, ἐπισκώπτοντες μετὰ παιδιᾶς πάντα τὸν εἰσάγοντα μεῖον
ἔφασαν εἰσάγειν, ὅθεν τὰ μὲν ἱερεῖα μεῖον προσηγο- 195
ρεύθη, μειαγωγὸς δὲ ὁ εἰσάγων. Ἀπολλόδωρος ἐν τοῖς περὶ Θεῶν, οἱ φράτορές, φησιν, ἵνα μείζονας νέμωνται μερίδας, ἐφώνουν ἑστῶτες ἱστάνειν δεῖν, μεῖον γάρ ἐστι. περὶ δὲ τοῦ μειαγωγοῦ Εὔπολις ἐν Δήμοις,

τοιγαροῦν
οὐδεὶς στρατηγὸς ἐξ ἐκείνου τοῦ χρόνου
δύναιτ' ἄν, ὥσπερ μειαγωγὸς ἑστιῶν,
τῆς τοῦδε νίκης πλεῖον' ἑλκύσαι σταθμόν.

μειαγωγῆσαι δέ ἐστι τὸ ἐπιδοῦναι τοῖς φράτορσι τὸ (118)
μεῖον, ὡς Λυσίας ἐν τῷ κατὰ Δημοσθένους ἐπιτροπῆς.

Μελανίππειον, Λυκοῦργος ἐν τῷ κατὰ Λυκόφρονος, Μελανίππου τοῦ Θησέως ἡρῷόν ἐστι, ὥς φησιν Ἀσκληπιάδης Τραγῳδουμένοις. Κλείδημος δ' ἐν πρώτῃ Ἀτθίδος ἐν Μελίτῃ αὐτὸ εἶναι λέγει.

Μελανωπός, Δημοσθένης κατ' Ἀνδροτίωνος. ὄνομα κύριον. κηδεστὴς Διοφάντου τοῦ ῥήτορος.

Μελίνη, Δημοσθένης Φιλιππικοῖς. ὀσπρίου ἐστὶ σπέρμα καὶ ἀρσενικῶς λέγουσι. θηλυκῶς δὲ Σοφοκλῆς Τριπτολέμῳ· κνήμας μελίνης. καὶ Ἡρόδοτος· σπείροντες μελίνην. Ξενοφῶν ἀναβάσεως πρώτῳ· καὶ σίτου καὶ

181 αὐτὸ εἶναι καὶ στενὸν καὶ τῷ σχήματι παρόμοιον τῷ πλοίῳ ὃ καλεῖται κύμβιον.

Κυνίδαι, Λυκοῦργος ἐν τῇ διαδικασίᾳ Κροκωνιδῶν πρὸς Κοιρωνίδας. γένος ἐστὶ παρ' Ἀθηναίοις οἱ Κυνίδαι.

Κυνόσαργες, Δημοσθένης ἐν τῷ κατὰ Τιμοκράτους. ἓν τῶν παρ' Ἀθηναίοις γυμνασίων τὸ Κυνόσαργες.

Κυπρόθεμις, ὄνομα κύριον. Δημοσθένης ἐν τῷ περὶ τῆς τῶν Ῥοδίων ἐλευθερίας. Σάμον δὲ φρουρουμένην ὑπὸ Κυπροθέμιδος, ὃν κατέστησε Τιγράνης ὁ βασιλέως ὕπαρχος.

Κύπασσις, Λυσίας ἐν τῷ ὑπὲρ Βακχίου καὶ Πυθαγόρου, εἰ γνήσιος. οἱ γλωσσογράφοι χιτῶνος εἶδός φασιν αὐτὸν εἶναι τὸν κύπασσιν, οἱ μὲν γυναικείου, οἱ δὲ ἀνδρείου. μέμνηται δ' αὐτοῦ Ἱππῶναξ τε καὶ Ἑκαταῖος ἐν περιόδῳ Εὐρώπης λέγων, Κίσσιοι δὲ ἐσθῆτα φορέουσι κυπάσσεις Περσικάς· καὶ Ἀριστοφάνης ἐν τοῖς Ταγηνισταῖς.

Κύρβεις, Λυκοῦργος ἐν τῷ περὶ τῆς Ἱερείας. κύρβεις φησὶν Ἀπολλόδωρος ἐν τοῖς περὶ θεῶν ἔχειν
(109) ἐγγεγραμμένους τοὺς νόμους. εἶναι δ' αὐτοὺς λίθους
182 ὀρθοὺς ἑστῶτας, ὡς ἀπὸ μὲν τῆς στάσεως στήλας, ἀπὸ δὲ τῆς εἰς ὕψος ἀναστάσεως διὰ τὸ κεκορυφῶσθαι κύρβεις ἐκάλουν, ὥσπερ καὶ κυρβασίαν τὴν ἐπὶ τῆς κεφαλῆς τιθεμένην. Ἀριστοτέλης δ' ἐν τῇ Ἀθηναίων πολιτείᾳ φησίν· Ἀναγράψαντες δὲ τοὺς νόμους εἰς τοὺς κύρβεις ἔστησαν ἐν τῇ στοᾷ τῇ βασιλείᾳ.

Κυρεῖον, Ἰσοκράτης Πανηγυρικῷ. Κυρεῖον στράτευμα, τὸ κατὰ Κύρου συναναβεβηκὸς ὅτε ἐστράτευσεν ἐπὶ τὸν ἀδελφὸν Ἀρταξέρξην, οὗ μετεῖχε καὶ Ξενοφῶν.

Κυρηβίων, Δημοσθένης ἐν τῷ κατ' Αἰσχίνου. ὅτι δ' ἐπώνυμόν ἐστι τοῦτο Ἐπικράτους τοῦ Αἰσχίνου κηδεστοῦ καὶ ἐν ἄλλοις δεδήλωται.

Κυρία ἐκκλησία, Ὑπερίδης ἐν τῷ κατὰ Δημέου ξενίας, εἰ γνήσιος. τίνες δὲ αἱ κυρίαι ἐκκλησίαι, Ἀριστο-

τέλης δεδήλωκεν ἐν τῇ Ἀθηναίων πολιτείᾳ, λέγων τοὺς πρυτάνεις συνάγειν τὴν βουλὴν καὶ τὸν δῆμον, ἢ τὴν βουλὴν ὁσημέραι, πλὴν ἐάν τις ἀφέσιμος ᾖ, τὸν δὲ δῆμον τετράκις τῆς πρυτανείας ἑκάστης. προσγράφουσι δέ, φησί, καὶ κυρίαν ἐκκλησίαν, ἐν ᾗ δεῖ τὰς ἀρχὰς ἀποχειροτονεῖν οἳ δοκοῦσι μὴ καλῶς ἄρχειν, καὶ περὶ φυ- 183
λακῆς τῆς χώρας καὶ τὰς εἰσαγγελίας ἐν ταύτῃ τῇ ἡμέρᾳ τοὺς βουλομένους ποιεῖσθαί φησι, καὶ τὰ ἑξῆς.

Κυρσίλου. Δημοσθένης ἐν τῷ ὑπὲρ Κτησιφῶντος· τὸν μὲν ταῦτα συμβουλεύσαντα Θεμιστοκλέα στρατηγὸν ἑλόμενοι, τὸν δὲ ὑπακούειν ἀποφηνάμενον Κυρσίλον καταλιθώσαντες.

Κωδία. τὴν τῆς μήκωνος κεφαλὴν οὕτω καλοῦσιν. Ἀριστοφάνης Γεωργοῖς,

ἀγαθήν γε κωδίαν.

Κωλιάς, Δημοσθένης ἐν τῷ κατὰ Νεαίρας, εἰ (110)
γνήσιος. ἐπιθαλασσία ἄκρα Ἀττική ἐστιν ἡ Κωλιάς, ἐκ μεταφορᾶς τοῦ κώλου ὠνομασμένη. ἔστι δ' αὐτόθι Ἀφροδίτης ἱερόν. μέμνηται Ἀριστοφάνης κατ' ἀρχὴν τῆς Λυσιστράτης.

Λ.

Λαγίσκα, Λυσίας ἐν τῷ πρὸς Λαΐδα, εἰ γνήσιος. Λαγίσκας τῆς ἑταίρας μνημονεύει καὶ Στράττις ὁ κωμικὸς οὕτω,

Λαγίσκαν τὴν Ἰσοκράτους παλλακὴν
ἰδεῖν με συκάζουσαν εὐναίαν ἔτι,
τόν τ' αὐλοτρύπην αὐτόν.

184 *Λαμπάδιον*, ἣν νῦν ἡμεῖς λαμπάδα καλοῦμεν, οὕτως ὠνόμαζον. Δείναρχος ἐν τῷ κατὰ Πυθέου καὶ Πλάτων ἐν πρώτῳ τῆς πολιτείας.

Λαμπάς, Λυσίας ἐν τῷ κατ' Εὐφήμου. τρεῖς ἄγουσιν Ἀθηναῖοι ἑορτὰς λαμπάδος, Παναθηναίοις καὶ Ἡφαιστείοις καὶ Προμηθείοις, ὡς Πολέμων φησὶν ἐν τῷ περὶ τῶν ἐν τοῖς προπυλαίοις πινάκων. Ἴστρος δ' ἐν πρώτῃ τῶν Ἀτθίδων εἶπεν ὡς ἐν τῇ τῶν Ἀπατουρίων ἑορτῇ Ἀθηναίων οἱ καλλίστας στολὰς ἐνδεδυκότες λαβόντες ἡμμένας λαμπάδας ἀπὸ τῆς ἑστίας ὑμνοῦσι τὸν Ἥφαιστον θύοντες, ὑπόμνημα τοῦ κατανοήσαντος τὴν χρείαν τοῦ πυρὸς διδάξαι τοὺς ἄλλους.

Λαμπτρεῖς, Δημοσθένης ἐν τῷ πρὸς Κάλλιππον. Λαμπτραὶ δῆμος τῆς Ἐρεχθηΐδος, ὡς Διόδωρός φησι. δύο δέ εἰσι Λαμπτραὶ, αἱ μὲν παράλιαι, αἱ δὲ καθύπερθεν. Ἀριστοφάνης Ἀμφιάρεῳ, Λαμπτρεὺς ἔγωγε τῶν κάτω.

(111) *Λάρκος*, Λυσίας ἐν τῷ πρὸς Καλλιππίδην. λάρκος ἐστὶ φορμὸς εἰς ὃν ἄνθρακας ἐνέβαλλον. κέχρηνται τῷ ὀνόματι ἄλλοι τε καὶ Ἀριστοφάνης Ἀχαρνεῦσι.

185 *Λαρυγγίζειν*, τὸ πλατύνειν τὴν φωνὴν καὶ μὴ κατὰ φύσιν φθέγγεσθαι, ἀλλ' ἐπιτηδεύειν περιεργότερον

τῷ λάρυγγι χρῆσθαι, οὕτως ἐλέγετο. Δημοσθένης ἐν τῷ ὑπὲρ Κτησιφῶντος.

Λεμβάδεια, Λυκοῦργος ἐν τῷ κατὰ Λυσικλέους. πόλις ἐστὶ τῆς Βοιωτίας.

Λέμβος, Δημοσθένης ἐν τῷ πρὸς Ζηνόθεμιν. εἶδος νεὼς ὁ λέμβος· πολλάκις δὲ εἴρηται ἐν τῇ κωμῳδίᾳ.

Λέσχαι, Ἀντιφῶν ἐν τῷ πρὸς Νικοκλέα. λέσχας ἔλεγον δημοσίους τινὰς τόπους ἐν οἷς σχολὴν ἄγοντες ἐκαθέζοντο πολλοί. Ὅμηρος,

οὐ δὲ θέλεις εὕδειν χαλκήϊον ἐς δόμον ἐλθών,
ἠέ που ἐς λέσχην.

Κλεάνθης ἐν τῷ περὶ Θεῶν ἀπονενεμῆσθαι τῷ Ἀπόλλωνι τὰς λέσχας φησίν· ἐξέδραις δὲ ὁμοίας γίνεσθαι αὐτὰς, καὶ παρ' ἐνίοις τὸν θεὸν Λεσχηνόριον ἐπικαλεῖσθαι.

Λευκὰς, Δημοσθένης ἐν ἐννάτῳ Φιλιππικῶν. νῆσός ἐστι πρὸς τῆς Ἠπείρου κειμένη. διείλεκται δὲ περὶ τῆς ἀκτῆς ἀκριβέστερον Στράβων ἐν τῷ δεκάτῳ τῶν γεωγραφουμένων. ἐν μέσῳ δὲ καὶ τὸ Μενάνδρου δρᾶμα ἡ Λευκαδία.

Λεύκη, Δημοσθένης ἐν τῷ ὑπὲρ Κτησιφῶντος· 186
Ἐστεφανωμένους τῷ μαράθῳ καὶ τῇ λεύκῃ. οἱ τὰ Βακχικὰ τελούμενοι τῇ λεύκῃ στέφονται, αὐτοχθόνιον μὲν εἶναι τὸ φυτὸν, χθόνιον δὲ καὶ τὸν τῆς Περσεφόνης Διόνυσον. τὴν δὲ λεύκην πεφυκέναι φασὶ πρὸς τῷ Ἀχέροντι, ὅθεν καὶ ἀχερωΐδα καλεῖσθαι παρ' Ὁμήρῳ,

ἤριπε δ' ὡς ὅτε τις δρῦς ἤριπεν, ἢ ἀχερωΐς, (112)
ἠὲ πίτυς βλωθρή.

Λευκὴ ἀκτὴ, Λυσίας ἐν τῷ πρὸς Ἀλκιβιάδην. πλειόνων οὐσῶν Λευκῶν, ὡς Δημήτριος ὁ Μάγνης δηλοῖ, ἔοικε τῆς ἐν Προποντίδι μνημονεύειν ὁ ῥήτωρ νῦν.

Λευκονοιεὺς, Δημοσθένης ἐν τῷ κατὰ Ἀφόβου. Λευκόνοιον δῆμος τῆς Λεοντίδος, ὡς Διόδωρός φησι.

Λεῦκτρα, Δημοσθένης ἐν τῷ ὑπὲρ Κτησιφῶντος. ἔστι δὲ χωρίον Βοιώτιον παρὰ Θεσπιάς.

Λέχαιον. ἐν τῇ Μιξιδήμου ἀπολογίᾳ φησὶ Λυσίας ὅτι τὸ Λέχαιον ἑάλω Μνασίππου ἄρχοντος. ἔστι δὲ τὸ Λέχαιον ἐπίνειον Κορινθίων, καθά φησι Στράβων ἐν ὀγδόῃ γεωγραφουμένων.

187 **Λεωκόρειον**, Δημοσθένης ἐν τῷ κατὰ Κόνωνος. τὸ δὲ Λεωκόριον εἶναί φησι Φανόδημος ἐνάτῳ Ἀτθίδος ἐν μέσῳ τῷ Κεραμεικῷ.

Ληξιαρχικὸν γραμματεῖον, Αἰσχίνης ἐν τῷ κατὰ Τιμάρχου, εἰς ὃ ἐνεγράφοντο οἱ τελεσθέντες τῶν παίδων, οἷς ἐξῆν ἤδη τὰ πατρῷα οἰκονομεῖν, παρ' ὃ καὶ τοὔνομα γεγονέναι, διὰ τὸ τῶν λήξεων ἄρχειν. λήξεις δέ εἰσιν οἵ τε κλῆροι καὶ αἱ οὐσίαι, ὡς καὶ Δείναρχος ἐν τῇ πρώτῃ καθ' Ἡγελόχου συνηγορίᾳ ὑπὲρ ἐπικλήρου.

Λῆξις, τὸ ἔγκλημα, καθ' ὃν λόγον φαμὲν λαχεῖν δίκην. Ἰσαῖος ἐν τῇ πρὸς Βοιωτὸν ἐφέσει.

Λητή, Ὑπερίδης κατὰ Δημάδου. Λητὴ πόλις ἐστὶ τῆς Μακεδονίας. μνημονεύει δὲ αὐτῆς πολλάκις Μαρσύας ὁ νεώτερος ἐν ἕκτῃ Μακεδονικῶν.

Λίθος, Δημοσθένης ἐν τῷ κατὰ Κόνωνος. τῶν τε παρόντων καθ' ἕνα ἡμῖν οὑτωσὶ καὶ πρὸς τὸν λίθον ἄγοντες καὶ ἐξορκοῦντες. ἐοίκασι δ' Ἀθηναῖοι πρός τινι
(113) λίθῳ τοὺς ὅρκους ποιεῖσθαι, ὡς Ἀριστοτέλης ἐν τῇ Ἀθηναίων πολιτείᾳ καὶ Φιλόχορος ἐν τῷ τρίτῳ ὑποσημαίνουσιν.

188. **Λικνοφόρος**, Δημοσθένης ἐν τῷ ὑπὲρ Κτησιφῶντος. τὸ λίκνον πρὸς πᾶσαν τελετὴν καὶ θυσίαν ἐπιτήδειόν ἐστιν. ὁ τοῦτο οὖν φέρων λικνοφόρος λέγοιτ' ἄν. λίκνον τὸ πτύον.

Λιπάρα, Δείναρχος Τυρρηνικῷ. μία τῶν καλουμένων Αἰόλου νήσων περὶ τὴν Σικελίαν ἡ Λιπάρα, ὡς Εὔδοξος ἐν ή περιόδου.

Λογισμός, ἡ λογιστικὴ τέχνη. Ἰσοκράτης Βουσίριδι.

Λογισταὶ καὶ λογιστήρια, ἀρχή τις παρ' Ἀθηναίοις οὕτω καλουμένη. εἰσὶ δὲ τὸν ἀριθμὸν δέκα,

οἳ τὰς εὐθύνας τῶν διῳκημένων ἐκλογίζονται ἐν ἡμέραις τριάκοντα, ὅταν τὰς ἀρχὰς ἀποθῶνται οἱ ἄρχοντες. Δημοσθένης ἐν τῷ ὑπὲρ Κτησιφῶντος. διείλεκται περὶ τούτων Ἀριστοτέλης ἐν τῇ Ἀθηναίων πολιτείᾳ, ἔνθα δείκνυται ὅτι διαφέρουσι τῶν εὐθυνῶν. μέμνηνται τῆς ἀρχῆς καὶ οἱ κωμικοί. Εὔπολις Πόλεσιν,

ἄνδρες λογισταὶ τῶν ὑπ' εὐθυνῶν χορῶν.

λογιστήρια δ' ἐστὶ τὰ τῶν λογιστῶν ἀρχεῖα, ὡς Δείναρχος ἐν τῷ κατὰ Τιμοκράτους καὶ Ἀνδοκίδης ἐν τῷ περὶ τῶν Μυστηρίων δηλοῦσιν.

Λογοποιός, ὁ ὑφ' ἡμῶν ἱστορικὸς λεγόμενος. 189
Ἰσοκράτης Βουσίριδι καὶ Ἡρόδοτος ἐν τῷ δευτέρῳ.

Λόγου τυχεῖν, ἀντὶ τοῦ ἐπαίνου. Δημοσθένης ἐν τῷ ὑπὲρ Κτησιφῶντος.

Λοιδίας, Αἰσχίνης ἐν τῷ περὶ τῆς παραπρεσβείας. ὅτι τῆς Μακεδονίας ἐστὶ ποταμὸς ἄλλοι τε ἱστοροῦσι καὶ Ἑκαταῖος ἐν περιόδῳ Εὐρώπης.

Λουτροφόρος καὶ λουτροφορεῖν. ἔθος ἦν
τοῖς γαμοῦσι λουτρὰ μεταπέμπεσθαι ἑαυτοῖς κατὰ τὴν (114)
τοῦ γάμου ἡμέραν· ἔπεμπον δ' ἐπὶ ταῦτα τὸν ἐγγυτάτω γένους παῖδα ἄῤῥενα, καὶ οὗτοι ἐλουτροφόρουν. ἔθος δὲ ἦν καὶ τοῖς ἀγάμοις ἀποθανοῦσι λουτροφορεῖν καὶ ἐπὶ τὸ μνῆμα ἐφίστασθαι. τοῦτο δὲ ἦν παῖς ὑδρίαν ἔχων. λέγει περὶ τούτων Δείναρχος ἔν τε τῷ κατὰ Θεοδότου καὶ ἐν τῇ κατὰ Καλλισθένους εἰσαγγελίᾳ. ὅτι δὲ τὰ λουτρὰ ἐκόμιζον ἐκ τῆς νῦν μὲν Ἐννεακρούνου καλουμένης κρήνης, πρότερον δὲ Καλλιρόης, Πολυστέφανος ἐν τῷ περὶ κρηνῶν φησι. μέμνηνται δὲ τοῦ ἔθους οἱ κωμικοί.

Λουσιεύς, Ὑπερίδης ἐν τῷ πρὸς τὴν Δημέου
γραφήν. δῆμός ἐστι τῆς Οἰνηΐδος Λουσία, ἀφ' ἧς ὁ δη- 190
μότης Λουσιεύς, ὡς Διόδωρός φησι.

Λύκειον, Δημοσθένης ἐν τῷ κατὰ Τιμοκράτους. ἓν τῶν παρ' Ἀθηναίοις γυμνασίων ἐστὶ τὸ Λύκειον, ὃ Θεόπομπος μὲν ἐν τῇ κα' Πεισιστράτου ποιῆσαι, Φιλό-

χορος δ' ἐν τῇ τετάρτῃ Περικλέους φησὶν ἐπιστατοῦντος αὐτὸ γενέσθαι.

Λυκιουργεῖς, Δημοσθένης ἐν τῷ πρὸς Τιμόθεον. Δίδυμός φησι τὰς ὑπὸ Λυκίου κατεσκευασμένας φιάλαις, τοῦ Μύρωνος υἱοῦ, οὕτως εἰρῆσθαι· ἀγνοεῖν δὲ ἔοικεν ὁ γραμματικὸς ὅτι τὸν τοιοῦτον σχηματισμὸν ἀπὸ κυρίων ὀνομάτων οὐκ ἄν τις εὕροι γινόμενον, μᾶλλον δὲ ἀπὸ πόλεων καὶ ἐθνῶν, ὡς κλίνη Μιλησιουργής, Κριτίας φησὶν ἐν τῇ Λακεδαιμονίων πολιτείᾳ. μήποτ' οὖν γραπτέον καὶ παρ' Ἡροδότῳ ἐν τῇ ἑβδόμῃ ἀντὶ τοῦ προβόλους δύο Λυκοεργέας, Λυκιεργέας· ἵνα ὥσπερ παρὰ τῷ Δημοσθένει, οὕτως ὀνομάζηται τὰ ἐν Λυκίᾳ εἰργασμένα.

Λυκοῦργος, εἷς τῶν δέκα ῥητόρων, οὗ πάππος Λυκοῦργος ὁ νομοθέτης.

Λύσανδρος, ὄνομα κύριον. Λακεδαιμονίων ναύαρχος.

Λυσίμαχος, Δημοσθένης ἐν τῷ περὶ τῶν ἀτε-
191 λειῶν. ἦν δὲ Ἀριστείδου υἱὸς τοῦ δικαίου ἐπικληθέν-
(116) τος. ἕτερος δ' ἐστὶ Λυσίμαχος οὗ μνημονεύει Λυκοῦρ-
γος ἐν τῷ περὶ τῆς διοικήσεως ὡς εὐτελοῦς μελοποιοῦ.

M.

Μαιμακτηριών, ὁ πέμπτος μὴν παρ' Ἀθηναίοις. Δημοσθένης ἐν τῷ πρὸς Τιμόθεον. ὠνόμασται δὲ ἀπὸ Διὸς μαιμάκτου. μαιμάκτης δ' ἐστὶν ὁ ἐνθουσιώδης καὶ ταρακτικὸς, ὥς φησι Λυσιμαχίδης ἐν τῷ περὶ τῶν Ἀθήνησι μηνῶν. ἀρχὴν δὲ λαμβάνοντος τοῦ χειμῶνος ἐν τούτῳ τῷ μηνὶ, ὁ ἀὴρ ταράττεται καὶ μεταβολὴν ἴσχει.

Μακροκέφαλοι, Ἀντιφῶν ἐν τῷ περὶ ὁμονοίας. ἔθνος ἐστὶν οὕτω καλούμενον, οὗ καὶ Ἡσίοδος ἐν τρίτῳ Γυναικῶν καταλόγῳ μέμνηται. Παλαίφατος δ' ἐν ἑβδόμῃ Τρωϊκῶν ἐν τῇ Λιβύῃ φησὶν ὑπεράνω Κόλχων οἰκεῖν τοὺς Μακροκεφάλους.

Μαλακίζομεν. Δημοσθένης ἐν ἐννάτῳ Φιλιππικῶν φησι, Μένομεν καὶ μαλακιζόμεθα. ἐν ἐνίοις γράφεται μαλακίομεν, ὅπερ δηλοῖ τὸν ὄρον φρίττειν. Αἰσχύλος Ἑλλαδίῳ,

κεκμῆτι μαλακίων ποδί.

Μάλθη, ὁ μεμαλαγμένος κηρός. Δημοσθένης ἐν τῷ 192
κατὰ Στεφάνου. Ἱππῶναξ,

ἔπειτα μάλθῃ τὴν τρόπιν παραχρίσας.

Μαντινέων διοικισμὸς, Ἰσοκράτης ἐν τῷ περὶ τῆς εἰρήνης περὶ τῶν Λακεδαιμονίων λέγων φησὶ, Μαντινέας διῴκισαν. καὶ Ἔφορος ἐν τῇ εἰκοστῇ φησὶν ὅτι εἰς πέντε κώμας τὴν Μαντινέων διῴκισαν πόλιν Λακεδαιμόνιοι.

Μαργίτης. Αἰσχίνης ἐν τῷ κατὰ Κτησιφῶντος. (116)
ἐπωνυμίαν δὲ Ἀλεξάνδρῳ Μαργίτην ἔθεντο. καὶ Μαρσύας ἐν πέμπτῳ τῶν περὶ Ἀλέξανδρον ἱστορεῖ λέγων, Μαργίτην ὑπὸ Δημοσθένους καλεῖσθαι τὸν Ἀλέξανδρον. ἐκάλουν δὲ τοὺς ἀνοήτους οὕτω διὰ τὸν εἰς Ὅμηρον

ἀναφερόμενον Μαργίτην, ὅπερ ποίημα Καλλίμαχος θαυμάζειν ἔοικεν.

Μαρώνεια, Δημοσθένης ἐν τῇ πρὸς Πανταίνετον παραγραφῇ. τόπος ἐστὶ τῆς Ἀττικῆς· ἔστι μέντοι καὶ πόλις ἐν Θράκῃ Μαρώνεια, ἥν φασιν εἶναι τὴν ὑφ' Ὁμήρου Ἴσμαρον καλουμένην. μνημονεύουσι δὲ αὐτῆς Δημοσθένης τε ἐν τῷ πρὸς Πολυκλέα καὶ Ἔφορος ἐν τῇ τετάρτῃ.

Μασσαλία. Ἰσοκράτης μὲν φησιν ἐν Ἀρχιδάμῳ,
193 ὡς Φωκαεῖς φυγόντες τὴν τοῦ μεγάλου βασιλέως δεσποτείαν, εἰς Μασσαλίαν ἀπῴκισαν. ὅτι δὲ πρὸ τούτων τῶν χρόνων ἤδη ὑπὸ Φωκαέων ᾤκιστο ἡ Μασσαλία καὶ Ἀριστοτέλης ἐν τῇ Μασσαλιωτῶν πολιτείᾳ δηλοῖ.

Μάστειρα, ἐν ὀγδόῃ Φιλιππικῶν Δημοσθένης· τῶν μὲν ἐν Θράκῃ κακῶν, τί γὰρ ἂν ἄλλο τις εἴποι Δρογγίλου καὶ Καβύλην καὶ Μάστειραν; μήποτε γραπτέον Βάστειραν, ἢ Πίστειραν, ἢ Ἐπίμαστον, ἐπεὶ ταύτας τὰς πόλεις εὑρίσκομεν παρ' Ἀναξιμένει ἐν ἑβδόμῳ τῶν περὶ Φίλιππον, τὴν δὲ Μάστειραν οὐδαμοῦ μνήμης τυχοῦσαν.

Μαστῆρες, Ὑπερίδης ἐν τῷ πρὸς Πάγκαλον. ἔοικεν ἀρχή τις εἶναι ἀποδεδειγμένη ἐπὶ τὸ ζητεῖν τὰ κοινὰ τοῦ δήμου, ὡς οἱ Ζητηταὶ καὶ οἱ ἐν Πελλήνῃ Μάστροι, ὡς Ἀριστοτέλης ἐν τῇ Πελληνίων πολιτείᾳ.

Ματρυλεῖον, Δείναρχος ἐν τῷ κατὰ Προξένου. Ἡρακλείων καὶ Δίδυμος τόπον τινά φασιν εἶναι ἐν ᾧ γρᾶες διατρίβουσαι δέχονται τοὺς βουλομένους καταμεθυσθῆναι. Μένανδρος Ἐπιτρέπουσιν,

(117) οὐκ οἰμώξεται,
καταφθαρεὶς ἐν ματρυλείῳ τὸν βίον.

194 **Μαχάτας**, ὄνομα κύριον.

Μαύσωλος, Δημοσθένης ἐν τῷ κατὰ Τιμοκράτους, ὄνομα κύριον, ἄρχων Καρῶν· φησὶ δὲ αὐτὸν Θεόπομπος μηδενὸς ἀπέχεσθαι πράγματος, χρημάτων ἕνεκα.

Μέδιμνος, Δείναρχος ἐν τῷ κατὰ Καλλισθένους. μέτρον ἐστὶ ξηρῶν, οἷον πυρῶν ἢ κριθῶν· ἔχει δὲ χοίνικας ὀκτὼ καὶ τεσσαράκοντα, καθά φησι Νίκανδρος ὁ Θυατειρηνὸς ἐν τοῖς ἐξηγητικοῖς τῆς Ἀττικῆς διαλέκτου.

Μεθώνη, Δημοσθένης Φιλιππικοῖς. λέγοι ἂν τὴν ἐν Θρᾴκῃ, ἣν πολιορκῶν Φίλιππος ἐξεκόπη τὸν δεξιὸν ὀφθαλμόν. Δημήτριος δ' ὁ Μάγνης ἐν ταῖς Συνωνύμοις πόλεσι τέσσαρας εἶναί φησι Μεθώνας.

Μεῖον καὶ Μειαγωγός, Ἰσαῖος ἐν τῷ πρὸς
Στρατοκλέα· παρέστησε μεῖον. θῦμά ἐστιν ὃ τοῖς
φράτορσι παρεῖχον οἱ τοὺς παῖδας εἰσάγοντες εἰς τού-
τους. Ἐρατοσθένης δ' ἐν τοῖς περὶ κωμῳδίας φησὶν
οὕτως· νόμου ὄντος μὴ μεῖον εἰσάγειν ὡρισμένου τινός,
ἐπισκώπτοντες μετὰ παιδιᾶς πάντα τὸν εἰσάγοντα μεῖον
ἔφασαν εἰσάγειν, ὅθεν τὰ μὲν ἱερεῖα μεῖον προσηγο- 195
ρεύθη, μειαγωγὸς δὲ ὁ εἰσάγων. Ἀπολλόδωρος ἐν
τοῖς περὶ Θεῶν, οἱ φράτορές, φησιν, ἵνα μείζονας νέμων-
ται μερίδας, ἐφώνουν ἑστῶτες ἱστάνειν δεῖν, μεῖον γάρ
ἐστι. περὶ δὲ τοῦ μειαγωγοῦ Εὔπολις ἐν Δήμοις,

τοιγαροῦν
οὐδεὶς στρατηγὸς ἐξ ἐκείνου τοῦ χρόνου
δύναιτ' ἄν, ὥσπερ μειαγωγὸς ἑστιῶν,
τῆς τοῦδε νίκης πλεῖον' ἑλκύσαι σταθμόν.

μειαγωγῆσαι δέ ἐστι τὸ ἐπιδοῦναι τοῖς φράτορσι τὸ (118)
μεῖον, ὡς Λυσίας ἐν τῷ κατὰ Δημοσθένους ἐπιτροπῆς.

Μελανίππειον, Λυκοῦργος ἐν τῷ κατὰ Λυκόφρονος, Μελανίππου τοῦ Θησέως ἡρῷόν ἐστι, ὥς φησιν Ἀσκληπιάδης Τραγῳδουμένοις. Κλείδημος δ' ἐν πρώτῃ Ἀτθίδος ἐν Μελίτῃ αὐτὸ εἶναι λέγει.

Μελανωπός, Δημοσθένης κατ' Ἀνδροτίωνος. ὄνομα κύριον. κηδεστὴς Διοφάντου τοῦ ῥήτορος.

Μελίνη, Δημοσθένης Φιλιππικοῖς. ὀσπρίου ἐστὶ σπέρμα καὶ ἀρσενικῶς λέγουσι. θηλυκῶς δὲ Σοφοκλῆς Τριπτολέμῳ· κνήμῃ μελίνης. καὶ Ἡρόδοτος· σπείροντες μελίνην. Ξενοφῶν ἀναβάσεως πρώτῳ· καὶ σίτου καὶ

μελίνης. ἐν δὲ τῷ αὐτῷ· πολὺν δὲ σήσαμον καὶ μέλι-
196 νον. καὶ ἐν ἕκτῃ· καὶ ὄσπρια πάντα καὶ μελίνη. ἔνιοι μὲν οὖν εἶδος κέγχρου νομίζουσι τὴν μελίνην, ὅπερ τινας καλεῖν ἔλυμον. Θεόφραστος δὲ ἐν ἑβδόμῳ περὶ Φυτῶν ὡς διαφέροντα ταῦτα ἀναγράφει, κέγχρον, ἢ μελίνην, ἢ ἔλυμον.

Μελίτη, Δημοσθένης ἐν τῷ κατὰ Κόνωνος. δῆμός ἐστι τῆς Κεκροπίδος. κεκλῆσθαι δέ φησι τὸν δῆμον Φιλόχορος ἐν τρίτῃ ἀπὸ Μελίτης θυγατρὸς κατὰ μὲν Ἡσίοδον Μύρμηκος, κατὰ δὲ Μουσαῖον Δίου τοῦ Ἀπόλλωνος.

Μένδη, Δημοσθένης κατὰ Λακρίτου. μία πόλις ἐστὶ τῶν ἐν Παλλήνῃ Μένδη, ὑπὸ Ἐρετριέων ᾠκισμένη.

Μενέλαος, Δημοσθένης Φιλιππικοῖς, ἀδελφὸς Φιλίππου ὁμοπάτριος.

Μεσεγγύημα, τὸ ὁμολογηθὲν ἀργύριον παρ' ἀνδρὶ μέσῳ γινομένῳ ἐγγυητῇ τῆς ἀποδόσεως. καὶ μεσεγγυήσασθαι τὸ ποιῆσαι τοῦτο λέγεται, ὡς ὑποσημαίνει Αἰσχίνης ἐν τῷ κατὰ Κτησιφῶντος.

Μεταγειτνιὼν, Ὑπερίδης ἐν τῷ ὑπὲρ Ξενίππου.
197 δεύτερος μὴν παρ' Ἀθηναίοις οὕτω καλεῖται· ἐν δὲ
(119) τούτῳ Ἀπόλλωνι Μεταγειτνίῳ θύουσιν, ὡς Λυσιμαχίδης ἐν τῷ περὶ τῶν Ἀθήνῃσι μηνῶν.

Μεταλλεῖς, Λυσίας ἐν τῷ πρὸς Διοχάρη, εἰ γνήσιος. οἱ μέταλλα ἐργαζόμενοι μεταλλεῖς ὀνομάζονται. ἔστι δὲ καὶ δρᾶμα Φερεκράτους Μεταλλεῖς, ὅπερ Νικόμαχόν φησι πεποιηκέναι Ἐρατοσθένης ἐν ἑβδόμῳ περὶ τῆς ἀρχαίας κωμῳδίας.

Μεταπύργιον, Λυσίας ἐν τῷ περὶ τῶν ἰδίων εὐεργεσιῶν. τὸ ἐν μέσῳ οἰκοδόμημα τῶν ἐπὶ τοῦ τείχους πύργων μεταπύργιον ἐλέγετο. οὕτω καὶ Θουκυδίδης πολλάκις, ὥσπερ ἐν τῇ τρίτῃ.

Μετοίκιον, Ὑπερίδης ἐν τῷ κατὰ Ἀρισταγόρας· μέτοικος μέν ἐστιν ὁ ἐξ ἑτέρας πόλεως μετοικῶν ἐν ἑτέρᾳ καὶ μὴ πρὸς ὀλίγον ὡς ξένος ἐπιδημῶν, ἀλλὰ τὴν

οἴκησιν αὐτόθι κατακτησάμενος. ἐδίδοντο δὲ ὑπ' αὐτοῦ καθ' ἕκαστον ἔτος δραχμαὶ δώδεκα, ὅπερ ὠνόμασται μετοίκιον, ὡς δηλοῖ Εὔβουλος ἐν τῇ Πλαγγῶνι. Ἰσαῖος δ' ἐν τῷ κατ' Ἐλπαγόρου καὶ Δημοφάνους ὑποσημαίνει ὅτι ὁ μὲν ἀνὴρ δώδεκα δραχμὰς ἐτέλει μετοίκιον, ἡ δὲ γυνὴ ἕξ, καὶ ὅτι τοῦ υἱοῦ τελοῦντος ἡ μήτηρ οὐκ ἐτέλει, μὴ τελοῦντος δ' ἐκείνου αὐτὴ τελεῖ. ὅτι δὲ καὶ 198 οἱ δοῦλοι ἀφεθέντες ὑπὸ τῶν δεσποτῶν ἐτέλουν τὸ μετοίκιον ἄλλοι τε τῶν κωμικῶν δεδηλώκασι καὶ Ἀριστομένης. Μένανδρος δ' ἐν Ἀνατιθεμένῃ καὶ ἐν Διδύμαις πρὸς ταῖς δώδεκα δραχμαῖς καὶ τριώβολόν φησι τούτους τελεῖν, ἴσως τῷ τελώνῃ. οἱ μέντοι μὴ τιθέντες τὸ μετοίκιον μέτοικοι ἀπήγοντο πρὸς τοὺς πωλητὰς καὶ εἰ ἑάλωσαν, ἐπιπράσκοντο, ὥς φησι Δημοσθένης ἐν τῷ κατ' Ἀριστογείτονος. ἐνεβίβαζον δὲ καὶ εἰς τὰς ναῦς τοὺς μετοίκους, ὡς ὁ αὐτὸς ῥήτωρ ἐν Φιλιππικοῖς δηλοῖ. ἐκάλουν δὲ οἱ κωμικοὶ σκαφέας τοὺς μετοίκους, ἐπεὶ ἐν ταῖς πομπαῖς τὰς σκάφας ἐκόμιζον οὗτοι.

Μετοιωνίσασθαι, ἀντὶ τοῦ μεταθέσθαι τὸν φαῦλον (120) οἰωνόν. Δείναρχος ἐν τῷ κατὰ Δημοσθένους.

Μετρονόμοι. ἀρχή τις Ἀθήνησίν ἐστιν ἡ τῶν μετρονόμων, ὡς Δείναρχος ἐν τῷ κατὰ Καλλισθένους. ἦσαν δὲ τὸν ἀριθμὸν πεντεκαίδεκα, εἰς μὲν τὸν Πειραιᾶ δέκα, πέντε δ' εἰς ἄστυ. εἶχον δὲ τὴν ἐπιμέλειαν ὅπως δίκαια εἴη τὰ μέτρα τῶν πωλούντων, ὡς καὶ Ἀριστοτέλης ἐν 199 τῇ Ἀθηναίων πολιτείᾳ δηλοῖ.

Μέταυλος, Λυσίας ἐν τῇ ὑπὲρ τοῦ Ἐρατοσθένους φόνου ἀπολογίᾳ. μέταυλός ἐστιν ἡ ῥυπαρὰ λεγομένη αὐλή, οὗ ὄρνιθες ἦσαν. Ἀριστοφάνης Λημνίαις καὶ Μένανδρος Θαΐδι.

Μηκύβερνα, Ὑπερίδης ἐν τῷ κατὰ Δημάδου. πόλις ἐστὶν ἐν Θρᾴκῃ σταδίους εἴκοσιν ἀπέχουσα τῆς Ὀλύνθου ἡ Μηκύβερνα.

Μηλόβιος, Ὑπερίδης ἐν τῷ κατ' Αὐτοκλέους. ἔστι δὲ εἷς τῶν τριάκοντα τῶν παρ' Ἀθηναίοις τυραννησάντων.

Μητρῷον, Λυκοῦργος ἐν τῷ κατ' Ἀριστογείτονος. τοὺς νόμους ἔθεντο ἀναγράψαντες ἐν τῷ Μητρῴῳ. δηλοῖ καὶ Δείναρχος ἐν τῷ κατὰ Πυθέου.

Μίκων. Λυκοῦργος ἐν τῷ περὶ τῆς Ἱερείας· Καὶ Μίκωνα τὸν γράψαντα ἕως τὰς τριάκοντα μνᾶς ἐζημίωσαν.

Μόλπις. Λυσίας ἐν τῷ περὶ τοῦ Διογένους φησὶ, Μόλπις ὁ τῶν ἐν Πειραιεῖ. οἱ δ' ἄρα μετὰ τοὺς τριάκοντα δέκα ἄρχοντες ἦρχον ἐν Πειραιεῖ, ὧν εἷς ἦν ὁ Μόλπις, ὡς Ἀνδροτίων ἐν τρίτῃ Ἀτθίδος.

200 *Μόθων*, φλύαρος, φορτικὸς, ἄτιμος, αἰσχρός. λέγουσι γὰρ τοὺς Ἀθηναίους χειρωσαμένους τοὺς Μόθωνας δουλικῇ καὶ ἀγεράστῳ περιστῆσαι τύχῃ. ὅθεν καὶ Ἀττικοὶ Μόθωνες, ἢ ἀπὸ Μόθωνός τινος αἰσχρὰ ποιοῦντος καὶ ἀεὶ ἐν τοῖς κότοις ὀρχουμένου. Μόθωνας δὲ καλοῦσι Λάκωνες τοὺς παρατρεφομένους τοῖς ἐλευθέροις (121) παῖδας. ἢ ἀντὶ τοῦ ἀνόητος. ἄλλοι δὲ λέγουσι δουλοπρεπεῖς, σπερμολόγους.

Μοιροκλῆς, ὄνομα κύριον, Σαλαμίνιος, τῶν παρ' Ἀθηναίοις οὐκ ἀφανῶς πολιτευσαμένων.

Μοιροδικῆσαι, ἀντὶ τοῦ μέρους μεταλαβεῖν. Ἀντιφῶν ἐν τῇ πρὸς Καλλίου ἔνδειξιν ἀπολογίᾳ.

Μουνυχία, Δημοσθένης ἐν τῷ ὑπὲρ Κτησιφῶντος. τόπος παραθαλάσσιος ἐν τῇ Ἀττικῇ. Ἑλλάνικος δὲ ἐν τῇ δευτέρᾳ Ἀτθίδος ὠνομάσθαι φησὶν ἀπὸ Μουνύχου τινὸς βασιλέως τοῦ Παντευκλεοῦς.

Μουνυχιών, Ὑπερίδης ἐν τῷ ὑπὲρ Ξενοφίλου. ὁ δέκατος μὴν παρ' Ἀθηναίοις οὕτω καλεῖται· ἐν δὲ τούτῳ τῷ μηνὶ Ἀρτέμιδι θύεται Μουνυχίᾳ.

201 *Μουσαῖος*. Λυσίας πρὸς τὴν Μιξιδήμου γραφὴν, εἰ γνήσιος. καὶ δύο παῖδας αὐτῷ ἀκολούθους εἶναι, ὧν οὗτος τὸν μὲν Μουσαῖον καλεῖ, τὸν δὲ Ἡσίοδον. ὅτι μὲν ὁ κρινόμενος ἐπετήδευσε τοὺς οἰκέτας οὕτω καλεῖν δῆλον. περὶ δὲ Μουσαίου Ἀριστόξενος ἐν τοῖς Πραξιδαμαντίοις φησὶν ὅτι οἱ μὲν ἐκ Θρᾴκης εἰρήκασι τὸν

ἄνδρα εἶναι, οἱ δὲ αὐτόχθονα ἐξ Ἐλευσῖνος. εἰρήκασι δὲ περὶ αὐτοῦ ἄλλοι τε καὶ Γλαῦκος.

Μόρων, Δημοσθένης Φιλιππικοῖς. συντάγματά τινα Λακωνικὰ οὕτω καλεῖται. διείλεκται δὲ περὶ τούτων Ἀριστοτέλης ἐν τῇ Λακεδαιμονίων πολιτείᾳ. φησὶ δὲ ὡς εἰσὶ μοῖραι ὠνομασμέναι καὶ διῄρηνται εἰς τὰς μοίρας Λακεδαιμόνιοι πάντες. Ξενοφῶν δὲ ἐν τῇ Λακώνων πολιτείᾳ φησίν, Ἑκάστη δὲ τῶν πολιτικῶν μόρων ἔχει πολέμαρχον ἕνα, λοχαγοὺς τέτταρας, πεντηκοστύας ὀκτώ, ἐνωμοτάρχας ἑκκαίδεκα.

Μυλωθρός, ὁ μύλωνα κεκτημένος καὶ ἐργαζόμενος αὐτῷ. Δείναρχος ἐν τῷ κατὰ Δημοσθένους πολλάκις. ἔστι δὲ καὶ παρὰ τοῖς κωμικοῖς πολὺ τοὔνομα. 202

Μύριοι ἐν μεγάλῃ πόλει. Δημοσθένης ἐν τῷ (122) κατ' Αἰσχίνου. συνέδριόν ἐστι κοινὸν Ἀρκάδων ἁπάντων, οὗ πολλάκις μνημονεύουσιν οἱ ἱστορικοί. διείλεκται δὲ περὶ αὐτῶν καὶ Ἀριστοτέλης ἐν τῇ κοινῇ Ἀρκάδων πολιτείᾳ, ἀρχόμενος τοῦ βιβλίου.

Μύρτανον, Δημοσθένης ὑπὲρ Κτησιφῶντος. φρούριον ἦν ἐν Θρᾴκῃ, ὡς Μαρσύας ὁ πρεσβύτης ἐν ὀγδόῃ Μακεδονικῶν καὶ Ἀναξιμένης ἐν Φιλιππικῷ.

Μύρτις. Δημοσθένης ἐν τῷ ὑπὲρ Κτησιφῶντος καταλέγων τοὺς προδεδωκότας ἑκάστην πόλιν φησίν, Ἀργείους Μύρτις, Τελέδαμος, Μνασίας. Θεόπομπος δ' ἐν τῇ πεντηκοστῇ πρώτῃ Πασέαν καὶ Ἀμυρταῖον ὀνομάζει τῶν Ἀργείων τοὺς Μακεδονίζοντας. ἰδεῖν οὖν, εἰ γραφικά ἐστιν ἁμαρτήματα.

Μυσῶν λείαν, Δημοσθένης ἐν τῷ ὑπὲρ Κτησιφῶντος. παροιμία τίς ἐστιν οὕτω λεγομένη, ἥν φησι Δήμων ἐν τεσσαρακοστῇ περὶ παροιμιῶν τὴν ἀρχὴν λαβεῖν ἀπὸ τῶν καταδραμόντων ἀστυγειτόνων τε καὶ λῃστῶν τὴν Μυσίαν, κατὰ τὴν τοῦ Τηλέφου τοῦ βασιλέως 203 ἀποδημίαν. κέχρηνται δὲ τῇ παροιμίᾳ ἄλλοι τε καὶ Στράττις ἐν Μηδείᾳ καὶ Σιμωνίδης ἐν Ἰάμβοις.

N.

Ναΐς, ἑταίρα τις. Λυσίας ἐν τῷ κατὰ Φιλωνίδου, εἰ γνήσιος, καὶ Ἀριστοφάνης Γηρυτάδῃ. μήποτε δὲ καὶ ἐν τῷ Πλούτῳ, ὅπου φησὶν ὁ κωμικός,

ἐρᾷ δὲ Λαΐς οὐ διά σε Φιλωνίδου,

γραπτέον ἦν διὰ τοῦ ν Ναΐς καὶ οὐ Λαΐς, ὡς καὶ Ἀθήναιος ἐπισημαίνεται.

(123) Νάννιον, Ὑπερίδης ἐν τῷ κατὰ Πατροκλέους, εἰ γνήσιος. Ἀπολλόδωρος ἐν τῷ περὶ τῶν ἑταιρῶν Αἶγα λέγεσθαί φησι ταύτην ἑταίραν, διὰ τὸ Θαλλὸν τὸν κάπηλον καταφαγεῖν. ὅτι γὰρ θαλλῷ χαίρουσιν αἱ αἶγες καὶ Σοφοκλῆς Ποιμέσιν,

ἑωθινὸς γὰρ πρίν τιν' αὐλητῶν ὁρᾶν,
θαλλὸν χιμαίρᾳ προσφέρων νεοσπάδα,
εἶδον στρατὸν στείχοντα παρ' ἀλίαν ἄκραν.

204 ἔστι δὲ αὐτῆς μνήμη καὶ ἐν τῇ κωμῳδίᾳ. Ἀντιφάνης δὲ ὁ νεώτερος ἐν τῷ περὶ τῶν ἑταιρῶν τὴν Νάννιον φησὶ προσκήνιον ἐπονομάζεσθαι, διὰ τὸ ἔξωθεν δοκεῖν εὐμορφωτέραν εἶναι.

Ναύκληρος, Ὑπερίδης ἐν τῷ περὶ τοῦ ταρίχους οὐ μόνον ὡς ἡ συνήθεια χρῆται τῷ ὀνόματι, ἀλλὰ καὶ ἐπὶ τοῦ μεμισθωμένου ἐπὶ τῷ τὰ ἐνοίκια ἐκλέγειν, ἢ οἰκίας, ἢ συνοικίας, ὡς ὁ αὐτὸς ῥήτωρ δηλοῖ ἐν τῷ πρὸς Ἀριστογείτονα καὶ Σάννυρίων Γέλωτι καὶ Δίφιλος Ἐμπόρῳ.

Ναυκραρικά, Δημοσθένης ἐν τῷ κατὰ Τιμοκράτους. μήποτε βέλτιον φέρεται ἐπὶ τοῖς Ἀττικιανοῖς ναυκρατικά, ἵν' ᾖ ἀπὸ Ναυκρατικοῦ πλοίου, ἢ Ναυκρατιτῶν ἐμπλεόντων· ἡ γὰρ Ναύκρατις τὸ παλαιὸν ἐμπόριον ἦν τῆς Αἰγύπτου. ἐὰν δὲ ᾖ Ναυκραρικά, εἴη

ἂν τὰ τῶν ἀρχόντων, ναυκράρους γὰρ τὸ παλαιὸν τοὺς ἄρχοντας ἔλεγον, ὡς καὶ ἐν τῇ πέμπτῃ Ἡρόδοτος δηλοῖ. Ἀριστοτέλης δ' ἐν Ἀθηναίων πολιτείᾳ φησί· Κατέστησαν δὲ δημάρχους τὴν αὐτὴν ἔχοντας ἐπιμέλειαν τοῖς πρότερον ναυκράροις, Δημίους ἀντὶ τῶν Ναυκράρων ἐποίησαν.

Ναυτοδίκαι, Λυσίας ἐν τῷ πρὸς Ἀλκιβιάδην, 205
εἰ γνήσιος ὁ λόγος. ἀρχή τις ἦν Ἀθήνησιν οἱ ναυτοδίκαι. Κρατερὸς γοῦν ἐν τῷ τετάρτῳ τῶν ψηφισμάτων (124) φησίν, Ἐὰν δέ τις μὴ ἐξ ἀμφοῖν γενοῖν γεγονὼς φρατρίζῃ, διώκειν δεῖ τῷ βουλομένῳ Ἀθηναίων οἷς δίκαι εἰσί, λαγχάνειν δὲ τῇ ἕνῃ καὶ νέᾳ πρὸς τοὺς ναυτοδίκας. Ἀριστοφάνης Δαιταλεῦσιν, Ἐθέλω βάψας πρὸς ναυτοδίκας ξένην ἐξαίφνης.

Νεαλής, Δημοσθένης ἐν τῷ κατ' Ἀριστογείτονος, εἰ γνήσιος. ὁ νεωστὶ ἑαλωκὼς οὕτως ἐλέγετο κατὰ μεταφορὰν τὴν ἀπὸ τῶν ἰχθύων.

Νεβρίζων, Δημοσθένης ἐν τῷ ὑπὲρ Κτησιφῶντος. οἱ μὲν ὡς τοῦ τελοῦντος νεβρίδα ἐνημμένου, ἢ καὶ τοὺς τελουμένους διαζωννύντος νεβρίσιν, ἐπὶ τοῦ νεβροὺς ἐκδιασπᾶν κατά τινα ἄρρητον λόγον. ἔστι δὲ ὁ νεβρισμὸς καὶ παρὰ Ἀριγνώτῃ ἐν τῷ περὶ τῶν Τελετῶν.

Νεήλατα, Δημοσθένης ὑπὲρ Κτησιφῶντος κατ' ἔλλειψιν, ἀντὶ τοῦ νεήλατα ἄλφιτα, τὰ νεωστὶ ἀληλεσμένα, ἃ δὴ μέλιτι ἀναδεύοντες ἀσταφίδας τε καὶ χλωροὺς ἐρεβίνθους ἐπεμβαλόντες, τοῖς τὰ ἱερὰ τελοῦσιν 206
ἔνεμον. ἐκάλουν δὲ αὐτὰ οἱ μὲν ἀμβροσίαν, οἱ δὲ μακαρίαν.

Νεμέας χαράδρα, Αἰσχίνης περὶ τῆς παραπρεσβείας. οὕτω τόπος τις ἐκαλεῖτο ἐν Πελοποννήσῳ, πλησίον τῆς Νεμέας χαράδρας. Ἔφορος ἐν εἰκοστῇ τρίτῃ. Νεμέας αὐλητρίδος μνημονεύει Ὑπερίδης ἐν τῷ κατὰ Πατροκλέους, εἰ γνήσιος. ὁ δὲ Πολέμων ἐν τοῖς περὶ τῆς Ἀκροπόλεως παρατίθεται ψήφισμα καθ' ὃ ἀπείρητο Ἀθήνησιν ὄνομα Πεντετηρίδος τίθεσθαι δούλῃ ἢ ἀπε-

λευθέρᾳ, ἢ πόρνῃ, ἢ αὐλητρίδι. ἄξιον οὖν ἀπορῆσαι, πῶς οὕτως ὠνομάζετο ἡ αὐλητρίς.

Νεμέσεια, Δημοσθένης ἐν τῷ κατὰ Σπουδίου. μήποτε ἑορτή τις ἦν Νεμέσεως, καθ' ἣν τοῖς κατοιχομένοις ἐπετέλουν τὰ νομιζόμενα.

Νεῶν, Δημοσθένης ἐν τῷ ὑπὲρ Κτησιφῶντος.
(125) περὶ τῆς πρὸς Φίλιππον τούτου φιλίας Θεόπομπος ἐν δευτέρᾳ Φιλιππικῶν ἱστορεῖ.

Νεώρια καὶ νεώσοικοι. μήποτε νεώρια λέγεται ὁ τόπος ἅπας εἰς ὃν ἀνέλκονται αἱ τριήρεις καὶ
207 πάλιν ἐξ αὐτοῦ καθέλκονται, ὡς ὑποσημαίνουσι Λυκοῦργός τε ἐν ἀπολογισμῷ ὧν πεπολίτευται καὶ Ἀνδοκίδης ἐν τῷ περὶ τῆς εἰρήνης, εἰ γνήσιος ὁ λόγος.

Νεῶσι, Δημοσθένης κατ' Αἰσχίνου. πόλις ἐστὶν ἐν τῇ Φωκίδι, ἣν Ἡρόδοτος μὲν ἐν ὀγδόῃ Νέωνα ὀνομάζει, Ἀνδροτίων δ' ἐν ἕκτῃ Ἀτθίδος Νεῶνας.

Νίκαια, Αἰσχίνης ἐν τῷ περὶ τῆς παραπρεσβείας. ἔστι δὲ πόλις τῆς Λοκρίδος ἐπιθαλαττίδιος.

Νικάνωρ, Ὑπερίδης ἐν τῷ κατὰ Δημοσθένους. τρεῖς γεγόνασι Νικάνορες, ὁ μὲν υἱὸς Βαλάκρου, ἕτερος δὲ Παρμενίωνος υἱὸς, ἄλλος δὲ Σταγειρίτης τὸ γένος, οὗ μνημονεύοι ἂν νῦν ὁ ῥήτωρ.

Νίκη Ἀθηνᾶ, Λυκοῦργος ἐν τῷ περὶ τῆς Ἱερείας, ὅτι Νίκης Ἀθηνᾶς ξόανον ἄπτερον, ἔχον ἐν μὲν τῇ δεξιᾷ ῥοιὰν, ἐν δὲ τῇ εὐωνύμῳ κράνος, ἐτιμᾶτο· ὅτι δὲ ἐτιμᾶτο παρ' Ἀθηναίοις, δεδήλωκεν Ἡλιόδωρος ὁ περιηγητὴς ἐν τῇ πρώτῃ περὶ Ἀκροπόλεως.

Νοθεῖα, τὰ τοῖς νόθοις ἐκ τῶν πατρῴων διδό-
208 μενα οὕτω καλεῖται· ἦν δὲ μέχρι χιλίων δραχμῶν. Λυσίας ἐν τῷ πρὸς Καλλιφάνην ξενίας, εἰ γνήσιος, Ἰσαῖος πρὸς Λυσίβιον περὶ ἐπικλήρου. Ἀριστοφάνης Ὄρνισι,

εἰ δ' ἦν ὁ πατὴρ ἐμοὶ διδῷ τὰ χρήματα
τὰ νοθεῖ' ἀποθνήσκων; ὁ νόμος αὐτὸν οὐκ ἐᾷ.

τίνων δ' οὐκ ἐξῆν τοῖς νόθοις μετέχειν, δεδήλωκεν Ὑπερίδης τε ἐν τῷ κατ' Ἀρισταγόρας δευτέρῳ. Δημο-

σθένης δ' ἐν τῷ κατ' Ἀριστοκράτους φησὶν ὡς καὶ τὸ Κυνόσαργες ἐτέλουν.

Νομοφύλακες, ἀρχή τις παρ' Ἀθηναίοις οὕτω(126) ἐκαλεῖτο, διαφέρουσα τῶν Θεσμοθετῶν. Δείναρχος καθ' Ἱμεραίου καὶ ἐν τῷ κατὰ Πυθέου. Φιλόχορος ἐν τῷ ἑβδόμῳ ἄλλα τέ τινα διεξῆλθε περὶ αὐτῶν καὶ ὅτι οὗτοι τὰς ἀρχὰς ἐπηνάγκαζον τοῖς νόμοις χρῆσθαι δῆλον.

Νότιον, Λυσίας κατὰ Μαντίου. ὅτι ἐστὶ χωρίον προκείμενον τῆς Κολοφωνίων πόλεως Θεόπομπος ἐν τῇ πεντεκαιδεκάτῃ φησίν.

Νύμφαιον. Αἰσχίνης ἐν τῷ κατὰ Κτησιφῶντός φησι, Νύμφαιόν τε ἐν τῷ Πόντῳ. Κρατερὸς δὲ ἐν ἐννάτῃ τῶν ψηφισμάτων φησὶν ὅτι Ἀθηναίοις τὸ Νύμφαιον ἐτέλει τάλαντον.

Ξ.

209 Ξενίζειν, Δημοσθένης ἐν τῇ πρὸς Εὐβουλίδην ἐφέσει, πολλάκις. ἔνιοι μὲν οἷον ξένῃ διαλέκτῳ χρῆσθαι. τἄλλα δ' ἂν εἴη μᾶλλον τὸ ἐν τῇ ξένῃ διατρίβειν.

Ξενικὸν ἐν Κορίνθῳ, Δημοσθένης Φιλιππικοῖς καὶ Ἀριστοφάνης Πλούτῳ. συνεστήσατο δ' αὐτὸ πρῶτον Κόνων, παρέλαβε δ' αὐτὸ Ἰφικράτης ὕστερον καὶ Χαβρίας· ᾧ χρησάμενοι τὴν Λακεδαιμονίων μοῖραν κατέκοψαν, στρατηγοῦντος αὐτοῖς Ἰφικράτους καὶ Καλλίου, καθά φησιν Ἀνδροτίων τε καὶ Φιλόχορος ἐν δεκάτῃ.

Ξενιτευομένους, ἀντὶ τοῦ μισθοφοροῦντας. ξένοι δὲ οἱ μισθοφόροι. Ἰσοκράτης Φιλιππικῷ κἂν τινι τῶν πρὸς Φίλιππον ἐπιστολῶν. Ἀντιφάνης Εὐθυδίκῳ,

ἐγὼ ξενιτευόμενος ἐστρατευόμην.

Ξηραλοιφεῖν, Αἰσχίνης κατὰ Τιμάρχου. ξηρα-
λοιφεῖν ἐλέγετο χωρὶς λουτρῶν ἀλείφεσθαι, ὡς Δίδυμος
(127) ἐν εἰκοστῇ ὀγδόῃ τραγικῆς λέξεως καὶ Νίκανδρος ἐν
210 ὀγδόῃ καὶ δεκάτῃ Ἀττικῆς διαλέκτου, προστιθεὶς ὅτι μή-
ποτε καὶ τὸ ὑπὸ τῶν ἀλειπτῶν λεγόμενον ξηροτρίβε-
σθαι οὕτως ἐλέγετο. Σοφοκλῆς Πηλεῖ,

καὶ ξηραλοιφῶν εἵματος διὰ πτυχῶν.

Ξυπεταίονες, Ὑπερίδης κατ' Ἀρχεστρατίδου. δῆμος τῆς Κεκροπίδος Ξυπέτη, ἀφ' ἧς ὁ δημότης Ξυπεταίων, ὡς Διόδωρος.

Ξυστὶς, Λυσίας ἐν τῷ πρὸς Νικόδημον καὶ Κριτόβουλον. γυναικεῖόν τι ἔνδυμά ἐστιν ἡ ξυστὶς πεποικιλ-

μένον, ὡς δῆλον ποιοῦσιν ἄλλοι τε τῶν κωμικῶν καὶ Αντιφάνης ἐν Εὐπλοίᾳ,

ὥσπερ ξυστίδα,
ἔνδυμα τῷ ποικίλον ἠμφιεσμένῳ.

ἔστι μὲν καὶ τραγικόν τι ἔνδυμα οὕτω καλούμενον, ὡς Κρατῖνος ἐν Ὥραις. ἔστι δὲ καὶ ἱππικὸν ἔνδυμα, ὡς Ἀριστοφάνης ἐν Νεφέλαις.

Ο.

Ὀβολοστατεῖ, ἀντὶ τοῦ δανείζει. Λυσίας ἐν τῷ κατὰ Νικίδου, εἰ γνήσιος· ἐν δὲ τῷ πρὸς Λακράτην δια-
211 σαφῶν φησιν· Οὐδ' ἂν εἰ πολὺ ἐλάττονα τόκον λογίσαιτό τις ἢ ὅσον οὗτοι ὀβολοστατοῦντες τοὺς ἄλλους πράττονται. ὀβολοστάτας δ' ἔλεγον τοὺς δανειστάς, ὡς παρά τε Ὑπερίδῃ ἐν τῷ κατὰ Πολυεύκτου καὶ πολλάκις ἐν τῇ κωμῳδίᾳ.

Ὁδός. Δημοσθένης ἐν τῷ κατ' Ἀριστοκράτους φησίν· Ἢ ἐν ὁδῷ καθελών, ἀντὶ τοῦ ἐν λόχῳ καὶ ἐνέ-
(128) δρᾳ. τοιοῦτον δὲ εἶναι καὶ τὸ Ὁμηρικόν φασιν, Ἢ ὁδὸν ἐλθέμεναι. εἰ δὲ ψιλωθείη ἡ προτέρα, σημαίνει τὸν βαθμόν, ὡς παρὰ Λυσίᾳ ἐν τῷ κατὰ Φιλίππου, εἰ γνήσιος ὁ λόγος.

Ὀθνεῖος, Ἰσαῖος ἐν τῷ κατὰ Στρατοκλέους ἀντὶ τοῦ ἀλλότριος, ὡς καὶ παρὰ Πλάτωνι ἐν πρώτῳ νόμων.

Οἴηθεν, Ἰσαῖος ἐν τῷ κατ' Ἐλπαγόρου καὶ Δημοφάνους. δῆμος τῆς Πανδιονίδος ἡ Οἴη, ὡς Διόδωρος· Οἴηθεν δὲ ἐκ τόπου ἐπίῤῥημα. Φιλόχορος δ' ἐν τῇ τρίτῃ τὴν Οἴην Κεφάλου μὲν θυγατέρα, Χάροπος δὲ γυναῖκα ἱστορεῖ.

Οἰκέως. Λυσίας ἐν τῷ κατὰ Θεομνήστου, ἐξηγού-
212 μενος ὥσπερ τὸ ὄνομά φησι, τὸ δὲ οἰκέως, θεράποντος.

Οἴκημα, ἀντὶ τοῦ δεσμωτήριον. Δείναρχος ἐν Τυῤῥηνικῷ καὶ ἐν τῷ κατὰ Ποσιδίππου. ἀντὶ δὲ τοῦ πορνεῖον Αἰσχίνης ἐν τῷ κατὰ Τιμάρχου.

Οἰκίσκῳ, ἀντὶ τοῦ μικρῷ τινὶ οἴκῳ. Δημοσθένης ἐν τῷ ὑπὲρ Κτησιφῶντος. ἐκάλουν δὲ οἱ Ἀττικοὶ τὸ ὑφ' ἡμῶν λεγόμενον ὀρνιθοτροφεῖον οἰκίσκον. Ἀρι-

στοφάνης Πελαργοῖς, Μεταγένης Αὔραις. ἐκ τούτων δ' ἔοικε πλανώμενος ὁ Δίδυμος καὶ τὸ Δημοσθενικὸν ἐξηγεῖσθαι.

Οἰνῆς, Ὑπερίδης ἐν τῷ πρὸς Ἀριστογείτονα. μία τῶν δέκα φυλῶν παρ' Ἀθηναίοις ἦν.

Οἰνέη καὶ Οἰναῖος. Ὑπερίδης ἐν τῷ πρὸς Ἀριστογείτονα· Καὶ ἔφασαν ἐν Οἰνέῃ ἀκοῦσαι ὅτι μάχη εἴη γεγονυῖα. Οἰνέη [ὁ μὲν] δῆμος τῆς Ἱπποθοωντίδος πρὸς Ἐλευθέραις, ὁ δὲ τῆς Αἰαντίδος πρὸς Μαραθῶνι. ἀφ' ἑκατέρου δὲ τῶν δήμων ὁ δημότης Οἰναῖος καλεῖται. μνημονεύει δ' ἂν νῦν ὁ ῥήτωρ τοῦ πρὸς Ἐλευθέραις, οὗ καὶ Θουκυδίδης ἐν τῇ δευτέρᾳ.

Οἶον, Ἰσαῖος ἐν τῷ περὶ τῆς ποιήσεως. δῆμοί εἰσιν ἐν τῇ Ἀττικῇ διττοὶ οὐδετέρως λεγόμενοι. καλοῦν- 213
ται δὲ Οἶον. κεκλῆσθαί φησιν οὕτω Φιλόχορος ἐν τῇ τρισκαιδεκάτῃ διὰ τὸ μηδαμῶς εὐοίκητον τόπον ἔχειν, (129)
ἀλλὰ μεμονῶσθαι. τὸ γὰρ μόνον οἶον ἐκάλουν οἱ ἀρχαῖοι. ἔστι δὲ τὸ μὲν Κεραμεικὸν Οἶον τῆς Λεοντίδος φυλῆς, τὸ δὲ Δεκελεικὸν τῆς Ἱπποθοωντίδος, ὡς Διόδωρος. οἱ δὲ δημόται ἑκατέρωθεν ἐλέγοντο ἐξ Οἴου. ἄλλοι δ' ἦσαν οἱ λεγόμενοι Οἴηθεν, ὡς προείρηται.

Οἶος εἶ, καὶ οἷός τε εἶ. τὸ μὲν χωρὶς τοῦ τε σημαίνει τὸ βούλει καὶ προήρησαι, τὸ δὲ σὺν τῷ τε τὸ δύνασαι. ἀμφοτέροις ἐχρήσατο Λυσίας ἐν τῷ κατὰ Λυσιθέου, εἰ γνήσιος.

Οἰσύμη, Ἀντιφῶν ἐν τῷ κατὰ Λαισπουδίου. πόλις ἐστὶ τῆς Θρᾴκης, καθά φασιν ἄλλοι τε καὶ Ἔφορος ἐν τρίτῃ.

Ὁ κάτωθεν νόμος, Δημοσθένης ἐν τῷ κατ' Ἀριστοκράτους. Δίδυμος ἤτοι, φησί, τὴν Ἡλιαίαν λέγει ὁ ῥήτωρ διὰ τὸ τῶν δικαστηρίων τὰ μὲν ἄνω, τὰ δὲ κάτω ὀνομάζεσθαι, ἢ διὰ τὸ σχῆμα τῆς ἐν τοῖς ἄξοσι γραφῆς βουστροφηδῆς γεγραμμένης, ἢ τὸν ἀπὸ τῶν εὐωνύμων ἀρχόμενον νόμον κάτωθεν ὀνομάζει ὁ Δημοσθένης. 214
ὅτι γάρ, φησί, βουστροφηδὸν ἦσαν οἱ ἄξονες καὶ οἱ κύρ-

βεις γεγραμμένοι δεδήλωκεν Εὐφορίων ἐν τῷ Ἀπολλοδώρῳ. ἢ ἐπεί, φησί, τοὺς ἄξονας καὶ τοὺς κύρβεις ἄνωθεν τῆς ἀκροπόλεως εἰς τὸ βουλευτήριον καὶ τὴν ἀγορὰν μετέστησεν Ἐφιάλτης, ὥς φησιν Ἀναξιμένης ἐν Φιλιππικῷ.

Ὀλιγωρήσετε, ἀντὶ τοῦ ἀμελήσετε. Δημοσθένης Φιλιππικοῖς. ὀλιγωρεῖν γὰρ λέγεται τὸ ὀλίγην ὥραν ἔχειν. ἔστι δὲ τὸ μὲν ὀλίγον ἀντὶ τοῦ οὐδὲ ὀλίγον, ὡς ἐν τῷ,

ἦ ὀλίγον οἱ παῖδα ἐοικότα γείνατο Τυδεύς.

ὥρα δ' ἐστὶν ἡ φροντίς.

Ὁλοσχοίνους, Αἰσχίνης ἐν τῷ περὶ τῆς παραπρεσβείας. Θεόφραστος δ' ἐν τετάρτῃ περὶ Φυτῶν εἰπών, τοῦ σχοίνου τρία εἴδη εἶναί φασιν, ὧν ὁ τρίτος τῷ
(130) μεγέθει καὶ εὐσαρκίᾳ διαφέρων ὁλόσχοινος καλεῖται.

Ὁμηρεύοντας, Αἰσχίνης ἐν τῷ κατὰ Κτησιφῶντος. ἐπὶ τῶν ἀναπεμφθέντων Λακεδαιμονίων ὁμήρους
215 Ἀλεξάνδρῳ. ἦσαν δὲ ν'. Κλείταρχος δέ φησιν ἐν τῇ πέμπτῃ εἶναι τοὺς δοθέντας παρὰ τῶν Λακεδαιμονίων ὁμήρους. ὅμηροι δέ εἰσιν οἱ ἐπὶ συμβάσει διδόμενοι. ὁμηρῆσαι γὰρ τὸ συμβαλεῖν. Ὅμηρος,

ὡμήρησε δέ μοι παρ' ἑταίρων ἄγγελος ἐλθών.

Θεόπομπος δὲ ὁμηρεῖν φησι παρὰ τοῖς ἀρχαίοις λέγεσθαι τὸ ἀκολουθεῖν· τοὺς οὖν ἐπ' ἀκολουθίᾳ τῶν ὁμολογουμένων διδομένους ἐντεῦθεν ὁμήρους φησὶ λέγεσθαι.

Ὁμηρίδαι, Ἰσοκράτης Ἑλένῃ. Ὁμηρίδαι γένος ἐν Χίῳ, ὅπερ Ἀκουσίλαος ἐν τρίτῃ, Ἑλλάνικος ἐν τῇ Ἀτλαντιάδι ἀπὸ τοῦ ποιητοῦ φησιν ὠνομάσθαι. Σέλευκος δὲ ἐν δευτέρῳ περὶ βίων ἁμαρτάνειν φησὶ Κράτητα νομίζοντα ἐν ταῖς ἱεροποιίαις Ὁμηρίδας ἀπογόνους εἶναι τοῦ ποιητοῦ. ὠνομάσθησαν γὰρ ἀπὸ τῶν ὁμήρων, ἐπεὶ αἱ γυναῖκές ποτε τῶν Χίων ἐν Διονυσίοις παραφρονήσασαι εἰς μάχην ἦλθον τοῖς ἀνδράσι καὶ δόντες ἀλλήλοις ὅμηρα νυμφίους καὶ νύμφας ἐπαύσαντο· ὧν τοὺς ἀπογόνους Ὁμηρίδας λέγουσιν.

Ὁμοερκές, Δείναρχος ἐν τῇ πρὸς τὴν Καλλίππου 216
παραγραφῇ. ἀντὶ τοῦ ὑφ' ἓν ἕρκος, τουτέστιν ὑπὸ τὸν αὐτὸν περίβολον.

Ὁμόσε ἰέναι. Ὑπερίδης ἐν τῷ κατ' Ἀθηνογένους φησί· Ἀλλὰ ὁμόσε βούλομαι τῷ λόγῳ τούτῳ ἐλθεῖν, ἀντὶ τοῦ παραβαλέσθαι. λέγεται δὲ ἐκ μεταφορᾶς ὁμόσε ταῖς λόγχαις ἰέναι, ἀντὶ τοῦ ἐξ ἐναντίας εἰς τὸ αὐτὸ ἔρχεσθαι καὶ μὴ στρέφεσθαι μηδὲ φεύγειν.

Ὁμοῦ. Δημοσθένης ἐν τῷ κατ' Ἀριστογείτονός
φησιν· Εἰσὶν ὁμοῦ δισμύριοι πάντες Ἀθηναῖοι, ἀντὶ (131)
τοῦ ἐγγύς. ἔστι δὲ πολὺ παρ' Ἀττικοῖς, καὶ Μένανδρός που, Ἤδη γάρ ἐστι τοῦ τίκτειν ὁμοῦ.

Ὀνήτωρ, Ἰσοκράτης ἐν τῷ περὶ τῆς Ἀντιδόσεως. πρὸς τοῦτον ἂν εἶεν οἱ γεγραμμένοι Δημοσθένους περὶ τῆς ἐξούλης λόγοι. ὅτι δὲ τῶν χορηγησάντων ἦν εἷς, Ἡλιόδωρος περὶ τῶν ἐν Ἀθήνῃσι τριπόδων.

Ὀνομάζων, ἀντὶ τοῦ φράζων, ἑρμηνείᾳ χρώμενος. Δημοσθένης ἐν τῷ ὑπὲρ Κτησιφῶντος.

Ὀξυθύμια. Ὑπερίδης ἐν τῷ κατὰ Δημάδου
φησί· Περὶ οὗ πολλῷ ἂν δικαιότερον ἐν τοῖς ὀξυθυ- 217
μίοις ἡ στήλη σταθείη ἢ ἐν τοῖς ἡμετέροις ἱεροῖς. ἔνιοι μέν, ὧν ἐστι καὶ Ἀρίσταρχος, ὀξυθύμιά λέγεσθαί φασι τὰ ξύλα ἀφ' ὧν ἀπάγχονταί τινες, ἀπὸ τοῦ ὀξέως τῷ θυμῷ χρῆσθαι. ταῦτα δ' ἐκκόπτοντες ἐξορίζουσι καὶ καίουσι. Δίδυμος δὲ Ἀντικλείδου λέξιν παραγράψας ἐκ τῶν ἐξηγητικῶν φησιν ὀξυθύμια τὰ καθάρματα λέγεται καὶ ἀπολύματα. ταῦτα γὰρ ἀποφέρεσθαι εἰς τὰς τριόδους, ὅταν τὰς οἰκίας καθαίρωσιν. ἐν δὲ τῷ ὑπομνήματι εἰς τὸν κατὰ Δημάδου τὰ ἐν τοῖς τριόδοις φησὶν Ἑκαταῖα, ὅπου τὰ καθάρσια ἔφερόν τινες, ἃ ὀξυθύμια καλεῖται. Εὔπολις Δήμοις,

ὃν χρῆν ἐν ταῖς τριόδοις κἀν τοῖσιν ὀξυθυμίοις
προστρόπαιον τῆς πόλεως καίεσθαι περιτετριγότα.

ἔστι τοὔνομα καὶ παρὰ Πυθέᾳ ἐν τῷ κατὰ Ἀδείμαντος.

Ὀπισθόδομος. Δημοσθένης ἐν τῷ περὶ τῆς Συντάξεως· Ἀνέῳξαν δή που πρώην τινὲς τὸν ὀπισθόδομον. ὁ οἶκος ὁ ὄπισθεν τοῦ νεὼ τῆς Ἀθηνᾶς οὕτω καλεῖται, ἐν ᾧ ἀπετίθεντο τὰ χρήματα.

218 Ὀργάς, Δημοσθένης ἐν τῷ περὶ Συντάξεως. ὀρ-
γὰς καλεῖται τὰ λοχμώδη καὶ ὀρεινὰ χωρία καὶ οὐκ
(132) ἐπεργαζόμενα. ὅθεν καὶ ἡ Μεγαρικὴ ὀργὰς προσωνο-
μάσθη, τοιαύτη τις οὖσα, περὶ ἧς ἐπολέμησαν Ἀθηναῖοι
Μεγαρεῦσιν.

Ὀργεῶνας. Ἰσαίου λόγος ἐστὶ πρὸς ὀργεῶνας. ὀργεῶνες δέ εἰσιν οἱ ἐπὶ τιμῇ θεῶν ἢ ἡρώων συνιόντες· ὀργιάζειν γάρ ἐστι τὸ θύειν καὶ τὰ νομιζόμενα δρᾶν· ἤτοι παρὰ τὸ ὀρέγειν τὼ χεῖρε, ἢ παρὰ τὰ ὄργια, ἢ διὰ τὸ ἐν ταῖς ὀργάσι καὶ τοῖς ἄλσεσι τὰ ἱερὰ δρᾶν. οἱ μέντοι ποιηταὶ ἔταττον τοὔνομα ἁπλῶς ἐπὶ τῶν ἱερέων, ὡς Ἀντίμαχός τέ που καὶ Αἰσχύλος ἐν Μύσταις. μήποτε δὲ ὕστερον νενόμισται τὸ ἐπὶ τιμῇ τινὰς τῶν ἀποθανόντων συνιέναι καὶ ὀργεῶνας ὁμοίως ὠνομάσθαι, ὡς ἔστι συνιδεῖν ἐκ τῶν Θεοφράστου διαθηκῶν.

Ὀργέων, ἀντὶ τοῦ ὀργεώνων. Λυσίας ἐν τῷ περὶ Θεοπόμπου κλήρου.

Ὀρικὰ ζεύγη, τὰ τῶν ὀρέων, τουτέστι τὰ τῶν
ἡμιόνων. Αἰσχίνης ἐν τῷ περὶ τῆς παραπρεσβείας. ὅτι
219 γὰρ ὀρέας ἐκάλουν τὰς ἡμιόνους καὶ Ὅμηρος καὶ Ἀρι-
στοφάνης ἐν Βατράχοις δηλοῖ.

Ὀριγνηθῆναι, ἀντὶ τοῦ ἐπιθυμῆσαι. Ἀντιφῶν ἐν Ἀληθείας πρώτῳ.

Ὀρκάνη, Λυκοῦργος ἐν τῷ κατὰ Λυκόφρονος δευτέρῳ. μήποτε ὁ φραγμός, τουτέστι περίφραγμα, καὶ ἡ αἱμασιὰ οὕτω καλεῖται, παρὰ τὸ ἐρύκειν, ἢ παρὰ τὸ ἕρκος. Ὅμηρος,

αἱμασιὰς λέξαντες ἀλωῆς ἔμμεναι ἕρκος.

Ὀρνιθευτής, ὁ ὀρνιθοθήρας. Δείναρχος κατὰ Προξένου. Πλάτων ἢ Κάνθαρος Συμμαχίᾳ. ἔστι δὲ καὶ ἐν τῇ νέᾳ κωμῳδίᾳ δρᾶμα Ὀρνιθευτὴς Νικοστράτου.

Ὅρος· οὕτως ἐκάλουν οἱ Ἀττικοὶ τὰ ἐπόντα ταῖς ὑποκειμέναις οἰκίαις καὶ χωρίοις γράμματα, δηλοῦντα ὅτι ὑπόκεινται δανειστῇ. Δημοσθένης ἐν τῷ πρὸς Σπουδίαν (133) καὶ Μένανδρος Παρακαταθήκῃ.

Ὅρον, σκεῦός τι γεωργικόν, ὡς Ἰσαῖος ἐν τῷ κατὰ Διοκλέους ὑποσημαίνει. μήποτε μέντοι τὸ ὅρον παρά τε Αἰσχύλῳ ἐν Κερκύωνι καὶ παρὰ Μενάνδρῳ ἐν δευτέρᾳ Ἐπικλήρῳ σημαίνει ξύλον τι ᾧ τὴν πεπατημέ- 220 νην σταφυλὴν πιέζουσιν.

Ὀρρωδεῖν, ἀντὶ τοῦ φοβεῖσθαι. Ἀνδοκίδης ἐν τῷ περὶ τῆς ἀδείας. πολὺ δέ ἐστι τοὔνομα παρ' αὐτοῖς. ὀρρωδία δὲ τὸ δέος. Δημοσθένης ἐν δημηγορικοῖς προοιμίοις.

Ὄρυγμα, ἰδίως οὕτως ἐκαλεῖτο ἐφ' οὗ οἱ κακοῦργοι ἐκολάζοντο Ἀθήνησι. Λυκοῦργος κατ' Ἀριστογείτονος.

Ὅσιον. Ὑπερίδης ἐν τῷ πρὸς Ἀριστογείτονά φησι· Καὶ τὰ χρήματα τά τε ἱερὰ καὶ τὰ ὅσια· ὅ τε Ἰσοκράτης Ἀρεοπαγιτικῷ· Καὶ τοῖς ἱεροῖς καὶ τοῖς ὁσίοις. ὅτι δὲ τὰ ὅσια τὰ δημόσια δηλοῖ, Δημοσθένης ἐν τῷ κατὰ Τιμοκράτους σαφῶς διδάσκει περὶ τούτων· Καὶ τὰ μὲν ἱερά, τὰς δεκάτας τῆς θεοῦ καὶ τὰς πεντηκοστὰς τῶν ἄλλων θεῶν σεσυληκότας. καὶ μετ' ὀλίγα· Τὰ δὲ ὅσια ἃ ἐγένετο ἡμέτερα κεκλοφότες. Δίδυμος δὲ διχῶς, φησίν, ἔλεγον τὸ ὅσιον, τό τε ἱερὸν καὶ τὸ ἰδιωτικόν.

Ὀσχοφόροι, Ὑπερίδης ἐν τῷ κατὰ Δημέου, εἰ γνήσιος. περὶ τῶν ὀσχοφόρων ἄλλοι τε εἰρήκασι καὶ Φιλόχορος ἐν τῇ δωδεκάτῃ. ὁ δὲ Ἴστρος ἐν τῷ ιγ' περὶ 221 Θησέως λέγων γράφει οὕτως· Ἕνεκα τῆς κοινῆς σωτηρίας νομίσαι τοὺς καλουμένους ὀσχοφόρους καταλέγειν δύο τῶν γένει καὶ πλούτῳ προὐχόντων. ἡ δὲ ὄσχη κλῆμά ἐστι βότρυς ἐξηρτημένους ἔχον· ταύτην δὲ ὀρεσχάδα ἔνιοι καλοῦσιν.

Ὅτι διαμαρτάνει Δημοσθένης ἐν τῷ κατὰ Νεαίρας λέγων Πλαταιέας γεγράφθαι ἐν τῇ ποικίλῃ στοᾷ· οὐδεὶς γὰρ τοῦτο εἴρηκεν, ὥσπερ οὐδὲ Κρατερὸς ἐν τῇ τῶν ψηφισμάτων συναγωγῇ.

(134) Ὅτι ἑξακισχίλια ἦν τάλαντα τὸ τίμημα τῆς Ἀττικῆς Δημοσθένης ἐν τῷ περὶ τῶν Συμμοριῶν φησιν οὕτως· Ἡμῖν δὲ τὸ τῆς χώρας τίμημα ὑπάρχειν ἀφορμὴν ὀκτακισχίλια τάλαντα ἀκούσεται. ἤτοι οὖν γραφικὸν ἁμάρτημά ἐστιν, ἢ ἴσως ὁ ῥήτωρ συναρπάζει, ἵνα δοκῇ πλείω τὴν ἀφορμὴν ἔχειν ἡ πόλις εἰς τὸν πρὸς βασιλέα πόλεμον. ὅτι γὰρ ἑξακισχίλια τάλαντα ἦν τὸ τίμημα τῆς Ἀττικῆς καὶ λυθέντος ἐν τοῖς ἑξῆς τοῦ λόγου φησίν, λογισμὸν αὐτῶν διδοὺς ποικίλως, καὶ Φιλόχορος ἐν δεκάτῳ Ἀτθίδος.

222 Ὅτι νόμος ἐστὶν ὑπὲρ τεσσαράκοντα ἔτη γενόμενον χορηγεῖν παισὶν Αἰσχίνης τε ἐν τῷ κατὰ Τιμάρχου φησὶ καὶ Ἀριστοτέλης ἐν τῇ Ἀθηναίων πολιτείᾳ.

Ὅτι ξένους τινὰς ἑαυτοῦ αἰχμαλώτους σκάπτοντας ἐν τῷ Φιλίππου ἀμπελουργίῳ καὶ δεδεμένους παρὰ πότον ἐξῃτήσατο παρὰ Φιλίππου Σάτυρος Αἰσχίνης μὲν ἐν τῷ περὶ τῆς παραπρεσβείας φησί· Δημοσθένης δ' ἐν τῷ κατ' Αἰσχίνου φησὶν ὅτι Ἀπολλοφάνους θυγατέρας ἐξῃτήσατο. καὶ ἔοικε μᾶλλον ἀληθεύειν, καὶ Ἀριστοτέλης ἔν τινι τῶν πρὸς Φίλιππον ἐπιστολῶν λέγει ὡς Σατύρῳ τῷ ὑποκριτῇ τὰς Ἀπολλοφάνους θυγατέρας ἀφῆκεν.

Ὅτι οἱ ἁλόντες ἐπ' ἀκουσίῳ φόνῳ ἐξουσίαν εἶχον εἰς διοίκησιν τῶν ἰδίων Δημοσθένης ἐν τῷ κατ' Ἀριστοκράτους ὑποσημαίνει καὶ Θεόφραστος ἐν τῷ τρισκαιδεκάτῳ τῶν νόμων δηλοῖ.

Ὅτι οἱ ποιητοὶ παῖδες ἐπανελθεῖν εἰς τὸν πατρῷον οἶκον οὐκ ἦσαν κύριοι, εἰ μὴ παῖδας γνησίους καταλίποιεν ἐν τῷ οἴκῳ τοῦ ποιησαμένου, Ἀντιφῶν ἐπιτροπικῷ Καλλιστράτου καὶ Σόλων ἐν εἰκοστῇ πρώτῃ τῶν νόμων.

223 Ὅτι τὰ ἐπικηρυττόμενά τισι χρήματα ἐπὶ τῶν βωμῶν ἐτίθετο εἴρηκεν Ἰσαῖος ἐν τῷ πρὸς Εὐκλείδην τὸν Σωκρατικόν, εἰ γνήσιος ὁ λόγος.

Ὅτι πρὸς τὴν φυλὴν τοῦ κεκτημένου αἱ πρὸς τοὺς

δούλους λαγχάνονται δίκαι Ἰσαῖος ἐν ἀπολογίᾳ ἀποστα- (135)
σίου πρὸς Ἀπολλόδωρον δηλοῖ.

Ὅτι παιδὶ καὶ γυναικὶ οὐκ ἐξῆν συμβάλλειν πέρα μεδίμνου κριθῶν Ἰσαῖος ἐν τῷ περὶ τοῦ Ἀλεξάνδρου κλήρου φησίν.

Ὅτι χιλίας ἐζημιοῦντο αἱ κατὰ τὰς ὁδοὺς ἀκοσμοῦσαι γυναῖκες Ὑπερίδης ἐν τῷ κατ' Ἀρισταγόρας δευτέρῳ εἴρηκεν. Κρώβυλος δὲ ὁ κωμικός φησι τοῦ Φιλιππίδου τὸν νόμον εἶναι τὸν περὶ τούτων κείμενον.

Οὐκ ἐπὶ τῆς αὐτῆς ὁρμεῖ τοῖς πολλοῖς. Δημοσθένης ἐν τῷ ὑπὲρ Κτησιφῶντος. παροιμία ἐστὶν ἐλλειπῶς λεγομένη. προσυπακουστέον οὖν ἔξωθεν τὸ ἀγκύρας.

Οὐσίας δίκη. οἱ δικαζόμενοι περὶ χωρίων ἢ οἰκιῶν πρὸς τοὺς ἔχοντας οὐσίας ἐδικάζοντο τὴν δευτέραν δίκην. ἡ δὲ προτέρα ἦν τῶν μὲν οἰκιῶν ἐνοι- 224
κίου, τῶν δὲ χωρίων καρποῦ, τρίτη ἐπὶ τούτων ἐξούλης. καὶ ἐξῆν τοῖς ἑλοῦσι κρατεῖν τῶν κτημάτων καὶ εἰ τὴν δίκην τὴν τοῦ καρποῦ ἢ τοῦ ἐνοικίου, καὶ εἰ τὴν δευτέραν ἡττηθεῖεν τὴν τῆς οὐσίας· εἰ δὲ καὶ ἐξούλης ἁλοῖεν, οὐκέτι ἐξῆν ἐπικρατεῖν, ἀλλ' ἐξίστασθαι ἔδει ἤδη τῶν κτημάτων τοῖς καταδικασαμένοις. ταῦτα δέ ἐστι μὲν καὶ παρ' ἄλλοις ῥήτορσιν· ἀκριβέστατα δὲ εἴρηται Ἰσαίῳ ἔν τε τῷ πρὸς Τιμωνίδην περὶ χωρίου καὶ ἐν τῷ πρὸς Δωρόθεον ἐξούλης. διείλεκται δὲ περὶ τῆς δίκης καὶ Θεόφραστος ἐν ὀγδόῃ καὶ δεκάτῃ περὶ νόμων.

Ὀφρύνειον, Δημοσθένης ἐν τῷ πρὸς Ἀπατούριον. πόλις ἐστὶ τῆς Τρῳάδος, ὡς δηλοῖ Ἀνδροτίων ἐν τρίτῃ Ἀτθίδος.

Ὀχεῖον, ἀντὶ μὲν τοῦ ὄχημα Δείναρχος ἐν ἀπολογίᾳ πρὸς Ἀντιφάνην περὶ τοῦ ἵππου, ἀντὶ δὲ τοῦ εἰς ὀχείαν ἀποδεδειγμένου ὁ αὐτὸς ἐν τῷ αὐτῷ λόγῳ φησίν· Ὠνοῦνταί μοι τὸν ἵππον ὀχεῖον. Λυκοῦργος ἐν τῷ περὶ διοικήσεως γείτονας τοῦ ὀχείου φησί. μήποτε δὲ ἐπὶ τόπου τινὸς ἐν ᾧ ὀχεῖαι γίνονται τῶν κτηνῶν, ἢ ὀχήματα μισθοῦται.

Π.

(136) Παγασαί, Δημοσθένης ἐν Φιλιππικοῖς. ἐπίνειόν εἰσι
225 Φεραίων αἱ Παγασαί, ὡς Θεόπομπος ἐν τῇ πέμπτῃ τῶν Φιλιππικῶν δηλοῖ.

Παιανιεῖς καὶ Παιονίδαι. Αἰσχίνης ἐν τῷ κατὰ Κτησιφῶντος· ὅτ' ἐγράψατο εἰς Ἄρειον πάγον Δημομέλη τὸν Παιανιέα ἀνεψιὸν ὄντα. Δίδυμος γραπτέον εἶναι φησὶ Παιανιέα χωρὶς τοῦ ι. εἰσὶ δὲ διττοὶ δῆμοι Παιανιέων, τῆς Πανδιονίδος φυλῆς, οὓς Διόδωρος καλεῖσθαί φησι Παιανιέαν καθύπερθεν, καὶ Παιανιέαν ὑπένερθεν. ὁμοίως δ' ἑκατέρου τῶν δήμων τὸν δημότην καλεῖσθαί φησι Παιανιέα. διαφέρουσι δὲ οὗτοι τῶν Παιονίδων, ὡς Ἴστρος ἐν Ἀτάκτῳ ὑποσημαίνει. μνημονεύουσι δὲ καὶ τούτων οἱ ῥήτορες, ὥσπερ καὶ Δείναρχος ἐν τῷ κατὰ Στεφάνου περὶ τοῦ ὀχετοῦ. δῆμος δέ ἐστι καὶ οὗτος τῆς Λεοντίδος, ὡς αὐτὸς Διόδωρος δηλοῖ.

Παλιναίρετος, Δείναρχος ἐν τῇ κατὰ Πολυεύ-
226 κτου ἐκφυλλοφορηθέντος ἐνδείξει. μήποτε παλιναίρετον λέγει ὁ ῥήτωρ τὸν Πολύευκτον, ἐπειδήπερ συκοφαντῶν τινας, ἔπειτα λαμβάνων δῶρα τούτοις αὐτοῖς ἐβοήθει, ὡς ἐν αὐτῷ τῷ λόγῳ δείκνυται. ἢ ὅτι συκοφάντης ἁλοὺς ἐζημιοῦτο καὶ διὰ τοῦτο ἐκωλύετο λέγειν, πρὶν ἀποτῖσαι τὴν ζημίαν ἣν ὤφειλεν· ἔπειτα ἀποτίσας τὴν ζημίαν, πάλιν ἔλεγεν, ὡς δηλοῦται καὶ τοῦτο ἐν τῷ λόγῳ. ὅτι γὰρ τοὺς τοιούτους ἐκάλουν παλιναιρέτους καὶ τοὺς ἀποχειροτονηθέντας τὴν ἀρχὴν καὶ πάλιν χειροτονηθέντας, Εὔπολίς τε ἐν Βάπταις δηλοῖ καὶ Ἄρχιππος ἐν τοῖς Ἰχθύσι λέγων,

αἱρουμένους τε πραγμάτων ἐπιστάτας
ἀποδοκιμάζειν πάλιν.

ἢν οὐκ πριῶμεν ταῦτα, κίνδυνος λαθεῖν (137)
ἁπαξάπαντας γενομένους παλιναιρέτους.

ἐπὶ δὲ τῶν καθαιρεθέντων οἰκοδομημάτων καὶ ἀνοικοδομηθέντων Πίνδαρος Διθυράμβοις.

Παλίνσκιον. Ἰσαῖος ἐν τῷ πρὸς Ὀργεῶνας, Μήτε παλίνσκιον γίγνεσθαι τὸ χωρίον, ἀντὶ τοῦ σύσκιον. Ἀρχίλοχος Τριμέτροις,

πρὸς τοῖχον ἐκινήθησαν ἐν παλινσκίῳ, 227

ἀντὶ τοῦ ἐν σκοτεινῷ. Σοφοκλῆς Ἰνάχῳ,

χειμῶνι σὺν παλινσκίῳ,

ἀντὶ τοῦ ζοφερῷ.

Παλίμβολον, Αἰσχίνης ἐν τῷ περὶ τῆς παραπρεσβείας. ὁ πολλάκις ἐμπολῇ μεταβεβλημένος, παλίμπρατος, παλίμβολος λέγεται, ὡς δῆλόν ἐστιν ἔκ τε τοῦ Δεινάρχου κατὰ Πολυεύκτου καὶ ἐκ τοῦ Μενάνδρου Σικυωνίου.

Παλληνεύς, Ὑπερίδης ἐν τῇ ὑπὲρ Χαιρεφίλου ἀπολογίᾳ. Παλλήνη, δῆμος τῆς Ἀντιοχίδος. τὸ δὲ ἐκ τόπου ἐπίρρημα Δείναρχος ἐν τῷ κατὰ Στεφάνου Παλληνῆθεν φησιν. ὁ οὖν δημότης Παλληνεύς. ὅτι δ' ἐστὶ καὶ ἐν Θρᾴκῃ Παλλήνη γνώριμον.

Παλαμναῖος, Ὑπερίδης ἐν τῷ κατὰ Δημάδου. αὐτοχειρίᾳ τινὰς ἀνελόντας, τῇ παλάμῃ, παλαμναίους ἐκάλουν, ὡς καὶ Ἀντικλείδης ἐν ἐξηγητικῷ ὑποσημαίνει.

Παμβωτάδεις, Δημοσθένης ἐν τῷ πρὸς Νικόστρατον. Παμβωτάδαι τῆς Ἐρεχθηΐδος δῆμος.

Παναθήναια, Δημοσθένης Φιλιππικοῖς. διττὰ 228
Παναθήναια ἤγετο Ἀθήνησι, τὰ μὲν καθ' ἕκαστον
ἐνιαυτὸν, τὰ δὲ διὰ πεντετηρίδος, ἅπερ καὶ μεγάλα (138)
ἐκάλουν. Ἰσοκράτης Παναθηναϊκῷ φησι· Μικρὸν δὲ πρὸ τῶν μεγάλων Παναθηναίων. ἤγαγε δὲ τὴν ἑορτὴν ὁ Ἐριχθόνιος ὁ Ἡφαίστου, καθά φησιν Ἑλλάνικός τε καὶ Ἀνδροτίων ἑκάτερος ἐν πρώτῃ Ἀτθίδος. πρὸ τούτου δὲ Ἀθήναια ἐκαλεῖτο, ὡς δεδήλωκεν Ἴστρος ἐν τρίτῃ τῶν Ἀττικῶν.

Πάνακτος, *Δημοσθένης κατὰ Κόνωνος*. πόλις ἐστὶ μεταξὺ τῆς Ἀττικῆς καὶ τῆς Βοιωτίας, ὡς καὶ Εὐριπίδης ἐν Αἰγῖδι μνημονεύει. Θουκυδίδης μὲν οὖν οὐδετέρως καλεῖ τὸ χωρίον ἔν τε ἄλλοις κἀν τῇ πέμπτῃ, ἀῤῥενικῶς δὲ Μένανδρος ἐν Ψηφώδεσιν.

Πανδαισία, Ἰσαῖος ἐν τῷ πρὸς Μέδοντα. ἔστι μὲν τοὔνομα πολλάκις καὶ ἐν τῇ ἀρχαίᾳ κωμῳδίᾳ. πανδαισία δέ ἐστι τὸ πάντα ἔχειν ἄφθονα καὶ μηδὲν ἐλλείπειν ἐν τῇ δαιτί. ἡ γὰρ τοῦ Διδύμου ἀπόδοσις περίεργος.

Πάνδεια, ἑορτή τις Ἀθήνησι, μετὰ Διονύσια ἀγομένη.

229 *Πάνδημος Ἀφροδίτη*, Ὑπερίδης ἐν τῷ κατὰ Πατροκλέους, εἰ γνήσιος. Ἀπολλόδωρος ἐν τῷ περὶ θεῶν πάνδημόν φησιν Ἀθήνησι κληθῆναι τὴν ἀφιδρυθεῖσαν περὶ τὴν ἀρχαίαν ἀγορὰν διὰ τὸ ἐνταῦθα πάντα τὸν δῆμον συνάγεσθαι τὸ παλαιὸν ἐν ταῖς ἐκκλησίαις, ἃς ἐκάλουν ἀγοράς. Νίκανδρος ἐν ἕκτῳ Κολοφωνιακῶν Σόλωνά φησι σώματα ἀγοράσαντα εὐπρεπῆ ἐπὶ στέγης στῆσαι διὰ τοὺς νέους καὶ ἐκ τῶν περιγινομένων χρημάτων ἱδρύσασθαι Ἀφροδίτης πανδήμου ἱερόν. ἔστι δὲ πάνδημον πάγκοινον.

Πανδοσία, Φιλιππικοῖς Δημοσθένης. περὶ τῆς ἁλώσεως τῶν ἐν Κασσωπείᾳ πόλεων, ὧν ἐστι καὶ Πανδοσία, Θεόπομπος ἐν τρίτῃ ἱστόρηκεν.

Πανδιωνίς, Δημοσθένης κατὰ Μειδίου. μία τῶν δέκα φυλῶν παρ' Ἀθηναίοις ἐστί, κληθεῖσα ἀπὸ Πανδίονος τοῦ Ἐριχθονίου, ὡς ἄλλοι τε πολλοὶ λέγουσι καὶ Ὑπερίδης ἐν τῷ ὑπὲρ Φορμησίου.

(139) *Πάνδροσος*, ὄνομα γυναικός.

230 *Παραγραφὴ* οὐ μόνον ἐπὶ τοῦ κοινοῦ καὶ γνωρίμου τίθεται παρὰ ῥήτορσιν, ἀλλ' ἰδίως Ἰσοκράτης ἐν τῷ περὶ τῆς Ἀντιδόσεώς φησιν· Λέξαι ἀρξάμενος ἀπὸ τῆς παραγραφῆς, ὅπερ ἐστὶν ἀπὸ τῆς γραφῆς, ἧς μέχρι νῦν παράγραφον καλοῦμεν· καὶ ἔστι τὸ λεγόμενον, ἀφ' οὗ παρέγραψα· τοῦτο δ' ἂν εἴη, ἀφ' οὗ παρεθέμην. ὁ δ'

Ὑπερίδης ἐν τῷ κατὰ Δημοσθένους οὐδὲ μέχρι παραγραφῆς φησὶν ἀντὶ τοῦ οὐδὲ μέχρι τινὸς ὡρισμένου χρόνου καὶ παραγεγραμμένου, ὅ ἐστι περιγεγραμμένου.

Παραγγελία. ὅση σπουδὴ καὶ παραγγελία περὶ τουτονὶ τὸν ἀγῶνα γέγονε. καὶ Αἰσχίνης δὲ τρόπον τινὰ τῇ αὐτῇ διανοίᾳ ἐχρήσατο ἐν τῷ κατὰ Κτησιφῶντος· Τὴν μὲν παρασκευὴν ὁρᾶτε ὦ ἄνδρες Ἀθηναῖοι καὶ τὴν παράταξιν, ὅση γεγένηται, καὶ τὰς κατ' ἀγορὰν δεήσεις αἷς κέχρηνταί τινες. Δείναρχος ἐν τῇ κατὰ Πολυεύκτου ἀποφάσει, Καὶ τὰς ἰδίας παραγγελίας γεγενημένας καὶ τὰς δεήσεις.

Παράκλησις, ἀντὶ τοῦ προτροπή. Ἰσοκράτης Παραινέσεσι· Διόπερ ἡμεῖς οὐ παράκλησιν εὑρόντες, ἀλλὰ παραίνεσιν γράψαντες. τίθεται μέντοι σπανίως καὶ 231
ἀντὶ τῆς δεήσεως. Λυκοῦργος ἐν τῷ περὶ τῆς Ἱερείας προειπών· Εἰ μὲν ὑπὲρ ἰδίου τινὸς ἦν ὁ ἀγών, ἐδεόμην ἂν ὑμῶν μετ' εὐνοίας ἀκοῦσαί μου, μετ' ὀλίγον φησίν· Νυνὶ δὲ αὐτοὺς ὑμᾶς οἶμαι τοῦτο ποιήσειν καὶ χωρὶς παρακλήσεως τῆς ἐμῆς.

Πάραλος, Δημοσθένης Φιλιππικοῖς. μία τῶν παρ' Ἀθηναίων πρὸς τὰς δημοσίας χρείας διαπεμπομένων τριηρῶν, ἀπό τινος ἥρωος τοὔνομα λαβοῦσα Παράλου. οἱ δὲ ἐπιβεβηκότες αὐτῆς ἐκαλοῦντο Πάραλοι, οἳ διὰ ταύτην τὴν ὑπηρεσίαν τέτταράς τε ὀβολοὺς ἐλάμβανον καὶ τὸ πλεῖον μέρος ἐνιαυτοῦ οἴκοι ἔμενον· ἄλλα τέ τινα ὑπῆρχον αὐτοῖς παρὰ τῆς πόλεως, ὥς φησιν Ὑπερίδης ἐν τῷ κατ' Ἀρχεστρατίδου. μέμνηται δὲ τοῦ Παράλου ἥρωος καὶ Φύλαρχος ἐν τῇ εἰκοστῇ πρώτῃ. (140)

Παράβυστον. οὕτως ἐκαλεῖτό τι τῶν παρ' Ἀθηναίοις δικαστηρίων, ἐν ᾧ ἐδίκαζον οἱ ἕνδεκα. Ἀντιφῶν ἐν τῷ πρὸς Νικοκλέα περὶ ὅρων. μνημονεύουσι δ' αὐτοῦ ἄλλοι τε τῶν κωμικῶν καὶ Τιμοκλῆς ἐν Ὀρεσταυτοκλείδῃ. ἐκαλεῖτο δέ τις ἐν τοῖς νυμφικοῖς δωμα- 232
τίοις καὶ κλίνη παράβυστος, ἧς μέμνηται Ὑπερίδης ἐν τῷ κατὰ Πατροκλέους. λέγεσθαι δ' ἔοικε ταῦτα κατὰ

μεταφορὰν ἀπὸ τῶν ἐν τοῖς φορτίοις παραβυσμάτων, τουτέστι παραπληρωμάτων.

Παραπεπτωκὼς, ἀντὶ τοῦ ὑποπεπτωκώς. Δημοσθένης ἐν τῷ κατὰ Στεφάνου.

Παρακαταβολὴ καὶ παρακαταβάλλειν. οἱ ἀμφισβητοῦντες χρημάτων τινῶν δεδημευμένων πρὸς τὴν πόλιν καὶ οἱ περὶ κλήρων ἢ ἐπικλήρων πρὸς ἰδιώτας ἀντιδικοῦντες ἀργύριόν τι κατετίθεσαν· καὶ τούτου ἐχρῆν αὐτοὺς στέρεσθαι, εἰ τὴν δίκην ἡττηθεῖεν. ἐπὶ μὲν οὖν τῶν πρὸς τὸ δημόσιον ἀμφισβητήσεων δῆλόν ἐστιν ὅτι τὸ πέμπτον μέρος τοῦ ἀμφισβητουμένου κατετίθετο. περὶ μὲν οὖν τῶν δημοσίων πολλαχοῦ εἴρηται τῷ Λυσίᾳ, ὥσπερ ἔν τε τῷ πρὸς Ἀλκιβιάδην περὶ οἰκίας καὶ ἐν τῷ πρὸς Ἀσωπίδωρον περὶ οἰκίας. περὶ δὲ τῶν κληρικῶν ἄλλοι τε πάλιν εἰρήκασι ῥήτορες καὶ Ὑπερίδης ἐν τῷ περὶ τῆς Ἱππέας κλήρου δευτέρῳ. Δημοσθένης μέντοι ἐν τῇ πρὸς Πανταίνετον παραγραφῇ περὶ ἰδίας
233 τινὰς δίκης φησί· Καὶ μετὰ ταῦτα προσκαλεῖταί με τὴν δίκην πάλιν, ἐπειδὴ θᾶττον ἀνείλετο τὰς παρακαταβολάς.

Παραβάλοιτο, ἀντὶ τοῦ παραπέμψαιτο. Αἰσχίνης κατὰ Κτησιφῶντος.

Πάρεδρος, Λυκοῦργος ἐν τῷ περὶ τῆς Ἱερείας. πολύ ἐστι τοὔνομα παρά τε τοῖς ῥήτορσι καὶ ἐν τῇ ἀρχαίᾳ κωμῳδίᾳ. Ἀριστοτέλης δ' ἐν τῇ Ἀθηναίων πολιτείᾳ φησί· Λαμβάνουσι δὲ παρέδρους ὅ τε ἄρχων καὶ
(141) ὁ πολέμαρχος, δύο ἑκάτερος οὓς ἂν βούληται. καὶ οὗτοι δοκιμάζονται ἐν τῷ δικαστηρίῳ πρὶν παρεδρεύειν καὶ εὐθύνας διδόασιν, ἐπὰν παρεδρεύωσιν.

Παρεῖαι ὄφεις, Δημοσθένης ὑπὲρ Κτησιφῶντος. παρεῖαι ὀνομάζονταί τινες ὄφεις παρὰ τὸ παρειὰς μείζους ἔχειν, ὡς καὶ Κρατῖνος ἐν τῷ Τροφωνίῳ ὑποσημαίνει. ὁ δὲ Ὑπερίδης ἐν τῷ κατὰ Δημάδου γράφει ταυτί· Εἶναι δὲ τοὺς ῥήτορας ὁμοίους τοῖς ὄφεσι· τούς τε γὰρ ὄφεις μισητοὺς μὲν εἶναι πάντας· τῶν δὲ ὄφεων αὐτῶν τοὺς μὲν ἔχεις τοὺς ἀνθρώπους ἀδικεῖν, τοὺς δὲ παρείας αὐτοὺς τοὺς ἔχεις κατεσθίειν.

Παῤῥησίας, ἀντὶ τοῦ βλασφημίας καὶ λοιδορίας. 234
Ἰσοκράτης Βουσίριδι καὶ περὶ τοῦ ζεύγους.

Παρακρούεται, ἀντὶ τοῦ ἐξαπατᾷ. πολὺ δέ ἐστι παρὰ τοῖς ἄλλοις Ἀττικοῖς καὶ παρὰ Δημοσθένει ἐν τοῖς Φιλιππικοῖς. μετῆκται δὲ τοὔνομα ἀπὸ τοῦ τοὺς ἱστάντας τὶ ἢ μετροῦντας κρούειν τὰ μέτρα καὶ διασείειν ἕνεκα τοῦ πλεονεκτεῖν. καὶ ὥς Σοφοκλῆς που,

ὡς μήτε κρούσῃς μήθ᾽ ὑπὸ χεῖρα βάλῃς.

Παρασκήνια, Δημοσθένης ἐν τῷ κατὰ Μειδίου. ἔοικε παρασκήνια καλεῖσθαι, ὡς καὶ Θεόφραστος ἐν εἰκοστῷ νόμων ὑποσημαίνει, ὁ περὶ τὴν σκηνὴν ἀποδεδειγμένος τόπος ταῖς εἰς τὸν ἀγῶνα παρασκευαῖς. ὁ δὲ Δίδυμος τὰς ἑκατέρωθεν τῆς ὀρχήστρας εἰσόδους οὕτω φησὶ καλεῖσθαι.

Παράσημος ῥήτωρ, Δημοσθένης ἐν τῷ ὑπὲρ Κτησιφῶντος. ἐκ μεταφορᾶς εἴρηται ἀπὸ τῶν νομισμάτων, ἃ καλοῦσι παράσημα· ἤτοι ὅτι ὑποχαράττεται ὑπὸ τῶν ἀργυραμοιβῶν σημείῳ τινί, ὃ τὴν φαυλότητα δηλοῖ, ἐπειδὴ παρατετύπωται καὶ παρακεχάρακται. ὅτι γὰρ ἐπὶ νομισμάτων λέγεται τὸ παράσημον, δεδήλωκεν ὁ 235
ῥήτωρ ἐν τῷ κατ᾽ Ἀριστοκράτους.

Παράστασις, Ἰσαῖος ἐν τῷ περὶ τοῦ Πύῤῥου (142)
κλήρου. τοὔνομα παρὰ πολλοῖς ἐστιν Ἀττικοῖς. ἔστι δὲ δραχμὴ καταβαλλομένη ὑπὸ τῶν δικαζομένων τὰς ἰδίας δίκας. Μένανδρος Μισογύνῃ,

ἕλκει δὲ γραμματίδιον
ἐκεῖσε δίθυρον καὶ παράστασις μία
δραχμή.

Ἀριστοτέλης δ᾽ ἐν Ἀθηναίων πολιτείᾳ περὶ θεσμοθετῶν φησιν οὕτως· Εἰσὶ δὲ γραφαὶ πρὸς αὐτούς, ὧν παράστασις τίθεται, ξενίας καὶ δωροξενίας, ἄν τις δῶρα δοὺς ἀποφύγῃ τὴν ξενίαν καὶ ψευδεγγραφῆς καὶ ψευδοκλησίας καὶ βουλεύσεως καὶ ἀγραφίου καὶ μοιχείας. Δημήτριος δὲ ὁ Φαληρεὺς ἐν τοῖς περὶ νομοθεσίας τοὺς διαιτητάς φησι λαμβάνειν τὰς δραχμάς, μίαν μὲν ἀπὸ

τῆς λήξεως, ἣν παράστασιν ἐκάλουν, ἑτέραν δὲ κατὰ ὑπωμοσίαν ἑκάστην.

Παραφρυκτωρεῖν, Δείναρχος ἐν τῇ κατὰ Δεινίου ἐνδείξει. τὸ τοῖς φρυκτοῖς παρὰ τὸ προσῆκον κε-
236 χρῆσθαι, τουτέστιν ἐπὶ συμφέροντι μὲν τῶν πολεμίων, ἐπὶ βλάβῃ δὲ τῶν φιλίων, οὕτως ἔλεγον, ὡς ὁ αὐτὸς ῥήτωρ ἐν τῷ λόγῳ αὐτῷ ἐξηγήσατο.

Παρεγγύησε καὶ παρεγγυηθέντας, Ἰσαῖος ἐν τῇ πρὸς Διοφάνην ἐπιτροπῆς ἀπολογίᾳ φησί· Τὸ μὲν παρὸν τόδε παρ' ἑτέρων μεταλαβεῖν παρεγγύησεν, ἀντὶ τοῦ παρέδωκεν ἐντειλάμενος ἑκατέρῳ, τῷ μὲν λαβεῖν, τῷ δὲ δοῦναι. καὶ πάλιν φησί· Τὰ μὲν ἐμοῦ διαλύσαντας, δύο τάλαντα καὶ τριάκοντα μνᾶς, τὰ δὲ τοῦ γεωργοῦ παρεγγυηθέντος, ἀντὶ τοῦ παραλαβόντος.

Παρελθεῖν, ἀντὶ τοῦ νικῆσαι. Δημοσθένης ὑπὲρ Κτησιφῶντος.

(148) Παρουσία, ἀντὶ τοῦ περιουσία, ἢ αἰτία πλούτου οὐσία. Δημοσθένης ἐν τῷ περὶ συντάξεως καὶ Δείναρχος ἐν τῷ ὑπὲρ τῆς νεώς, καὶ Κράτης Θηρίοις,

ἔχοντες εὐπαθῆ βίον παρουσίαν
τε χρημάτων.

Παῤῥάσιος, Ἰσοκράτης ἐν τῷ περὶ τῆς Ἀντιδόσεως. ὅτι μὲν ζωγράφος Παῤῥάσιος πάντῃ δῆλον. Ἰόβας δὲ ἐν ὀγδόῃ περὶ Ζωγράφων διεξέρχεται τὰ περὶ τὸν ἄνδρα. φησὶ δ' αὐτὸν εἶναι υἱὸν καὶ μαθητὴν Εὐήνορος, Ἐφέσιον δὲ τὸ γένος.

Πασίνους, Ἰσοκράτης Αἰγινητικῷ, ὄνομα κύριον.

Πασίων, ὄνομα κύριον τραπεζίτου.

Παττακίων, ὄνομα κύριον. κλέπτης καὶ τοιχωρύχος.

Πεδιακά, Λυσίας ἐν τῷ κατὰ Φιλίππου ἐπιτροπῆς, εἰ γνήσιος ὁ λόγος ἐστί. μοῖρα τῆς Ἀττικῆς ἐστιν. ἀπὸ τοῦ συμβεβηκότος ἐκαλεῖτο πεδίον. εἶχε δὲ καὶ προβάτων νομὰς καὶ τὰ ἐντεῦθεν, ὡς ἔοικεν, ἐκαλεῖτο πεδιακά. ἔστι καὶ παρ' ἄλλοις ῥήτορσι τοὔνομα.

Πεδάριτος, Ἰσοκράτης ἐν τῷ περὶ Ἀρχιδάμου. τῶν ἐκ Λακεδαίμονος ἐκπεμφθέντων ἐστὶν οὗτος ἁρμοστὴς ἀνήρ, εἷς τῶν γεγονότων καλῶν, ὥς φησι Θεόπομπος ἐν δευτέρᾳ Ἑλληνικῶν.

Πεζέταιροι, Δημοσθένης Φιλιππικοῖς. Ἀναξιμένης ἐν πρώτῳ Φιλιππικῶν περὶ Ἀλεξάνδρου λέγων φησίν· Ἔπειτα τοὺς μὲν ἐνδοξοτάτους ἱππεύειν συνεθίσας, ἑταίρους προσηγόρευσε, τοὺς δὲ πλείστους καὶ τοὺς πεζοὺς εἰς λόχους καὶ δεκάδας καὶ τὰς ἄλλας ἀρχὰς διελὼν πεζεταίρους ὠνόμασεν· ὅπως ἑκάτεροι, μετέχοντες τῆς βασιλικῆς ἑταιρίας, προθυμότατοι δια- 238
τελῶσιν ὄντες.

Πέλανος, Λυκοῦργος ἐν τῷ περὶ τῆς Ἱερείας. πολλάκις ἐστὶ τοὔνομα παρὰ πολλοῖς τῶν ἀρχαίων. Ἀπολ- (144)
λώνιος δ' ὁ Ἀχαρνεὺς ἐν τῷ περὶ τῶν Ἑορτῶν οὕτω γράφει· Ὁμοίως δὲ καὶ ὁ προσαγορευόμενος πέλανος. λέγεται δὲ πέμματά τινα τοῖς θεοῖς γινόμενα ἐκ τοῦ ἀφαιρεθέντος σίτου ἐκ τῆς ἅλω. Σαννυρίων δ' ἐν Γέλωτί φησι·

πέλανον καλοῦμεν ἡμεῖς οἱ θεοί,
ἃ καλεῖτε σεμνῶς ἄλφιθ' ὑμεῖς οἱ βροτοί.

Δίδυμος δὲ κυρίως φησὶ τὸ ἐκ τῆς παιπάλης πέμμα, ἐξ ἧς ποιοῦνται πέμματα· ἢ καὶ ἀπὸ τοῦ πεπλατύνθαι, ἢ ὅτι καὶ λευκά ἐστιν. Ὅμηρος,

ὅτε πέρ τε χιὼν ἐπάλυνεν ἀρούρας.

ἢ διὰ τὸ φανὸν εἶναι, ὅ ἐστι λευκόν. Εὐριπίδης μέντοι ἐν τῷ Ὀρέστῃ ἰδίως φησίν,

ἐκ δ' ὄμορξον ἀθλίου
στόματος ἀφρώδη πέλανον.

ὅπερ τὸν ἐπὶ τοῦ στόματος ἀφρὸν δηλοῖ.

Πεντακοσιομέδιμνοι, Λυσίας ἐν τῷ περὶ τῆς Ὀνομακλέους θυγατρός. ὅτι τέσσαρα τέλη ἐποίησεν Ἀθηναίων ἁπάντων Σόλων, ὧν ἦσαν καὶ οἱ πεντακο- 239
σιομέδιμνοι, δεδήλωκεν Ἀριστοτέλης ἐν Ἀθηναίων πολιτείᾳ.

Πεπάρηθος. Δημοσθένης ἐν τῷ ὑπὲρ Κτησιφῶν-

τός φησι· Καὶ τὴν Πεπαρήθου πόρθησιν. νῆσός ἐστιν αὕτη οὐκ ἄποθεν Εὐβοίας.

Πείσων, Λυσίας ἐν τῷ κατ' Ἐρατοσθένους. εἷς τῶν Τριάκοντα παρ' Ἀθηναίοις τυραννησάντων.

Πενέσται, Δημοσθένης ἐν τῷ κατ' Ἀριστοκρά- (145)τους. Πενέσται παρὰ Θετταλοῖς καλοῦνται οἵπερ παρὰ Λακεδαιμονίοις Εἵλωτες. Ξενοφῶν γοῦν ἐν τρίτῳ Ἑλληνικῶν φησιν ἐπί τινος· καὶ τοὺς Πενέστας ὥπλισεν ἐπὶ τοὺς δεσπότας. διείλεκται δὲ περὶ αὐτῶν ἐπιπλέον Στάφυλος ἐν τῇ τρίτῃ περὶ Θετταλῶν. οὐ μόνον δὲ αὐτοὺς Πενέστας καλεῖσθαί φησιν, ἀλλὰ καὶ Θετταλοικέτας.

Πεντηκόνταρχος, ὁ τῆς πεντηκοντόρου ἄρχων, ὡς δηλοῖ Δημοσθένης ἐν τῷ περὶ τοῦ ἐπιτριηραρχήματος. ὅτι δὲ πεντηκόντορος ἐκαλεῖτο ἡ ναῦς ἡ ὑπὸ πεντήκοντα ἐρεσσομένη πρόδηλον.

240 Πεντηκοστὴ καὶ πεντηκοστεύεσθαι καὶ πεντηκοστολόγοι. πεντηκοστὴ μὲν τέλος τι, καὶ πεντηκοστολόγοι οἱ τοῦτο τὸ τέλος ἐκλέγοντες· πεντηκοστεύεσθαι δὲ ἀντὶ τοῦ πράττεσθαι τὴν πεντηκοστήν. ταῦτα δ' ἔστιν εὑρεῖν ἔν τε τῷ κατὰ Μειδίου καὶ ἐν τῷ πρὸς τὴν Λακρίτου παραγραφὴν Δημοσθένους καὶ Ὑπερίδου ἐν τῷ περὶ τῶν Εὐβούλου δωρεῶν.

Πέπλος, Ἰσαῖος ἐν τῷ περὶ τῶν ἐν Μακεδονίᾳ ῥηθέντων. περὶ τοῦ πέπλου τοῦ ἀναγομένου τῇ Ἀθηνᾷ τοῖς μεγάλοις Παναθηναίοις οὐ μόνον παρὰ τοῖς ῥήτορσίν ἐστι μνήμη, ἀλλὰ καὶ παρὰ τοῖς κωμικοῖς.

Περγασῆθεν, Ἰσαῖος ἐν τῷ κατὰ Θεοτίμου. Περγασὴ δῆμος τῆς Ἐρεχθηΐδος· τὸν μέντοι δημότην διχῶς λέγεσθαί φασι, Περγασέα τε καὶ Περγασῆθεν.

Περίανδρος, ὄνομα κύριον.

Περὶ τῆς ἐν Δελφοῖς σκιᾶς. Δημοσθένης Φιλιππικοῖς. Δίδυμός φησι τὴν περὶ ὄνου σκιᾶς παροιμίαν παραπεποιῆσθαι ὑπὸ τοῦ ῥήτορος λέγοντος περὶ τῆς ἐν Δελφοῖς σκιᾶς· λέγεσθαι δ' αὐτὴν ἐπὶ τοῖς περὶ τῶν μηδενὸς ἀξίων μαχομένοις.

Περιθοῖδαι, Δημοσθένης ἐν τῷ πρὸς Πολυκλέα. δῆμός ἐστι τῆς Οἰνηΐδος.

Πέριλλος, Δημοσθένης ὑπὲρ Κτησιφῶντος. ἔστι (146) δὲ ὄνομα κύριον.

Περίοδος. Δημοσθένης Φιλιππικοῖς φησιν· Ἐπεὶ ὅτι γε ὥσπερ περίοδος ἢ καταβολὴ πυρετοῦ. περιοδικὰ νοσήματα καλοῦσιν οἱ ἰατροὶ τὰ τεταγμένως ἀνιέμενα καὶ αὖθις ἐπιγινόμενα, οἷον τριταίους καὶ τεταρταίους. καὶ γὰρ ἐπὶ τούτων οἱ κάμνοντες δοκοῦσιν ἐν ταῖς τῶν ἀνέσεων ἡμέραις μηδὲν νοσεῖν, ἀλλὰ ὑγιεῖς εἶναι.

Περιοίκιον, Ἰσαῖος ἐν τῷ πρὸς Μενεκράτην, καὶ τὸ περιοίκιον καὶ τὴν οἰκίαν. μήποτε δ' ἡμεῖς λέγομεν ἐποίκιον.

Περίπολος, Αἰσχίνης ἐν τῷ περὶ τῆς παραπρεσβείας. Ἀριστοτέλης ἐν Ἀθηναίων πολιτείᾳ περὶ τῶν ἐφήβων λέγων φησὶν οὕτως· τὸν δεύτερον ἐνιαυτὸν ἐκκλησίας ἐν τῷ θεάτρῳ γενομένης, ἀποδεξάμενοι τῷ δήμῳ περὶ τὰς τάξεις καὶ λαβόντες ἀσπίδα καὶ δόρυ παρὰ τοῦ δήμου περιπολοῦσι τὴν χώραν καὶ διατρίβουσιν ἐν τοῖς φυλακτηρίοις. παρατηρητέον οὖν ὅτι ὁ μὲν Ἀριστοτέλης ἕνα φησὶν ἐνιαυτὸν ἐν τοῖς περιπόλοις γίγνεσθαι τοὺς ἐφήβους, ὁ δὲ Αἰσχίνης δύο· καὶ τάχα διὰ τοῦτο ἐπεσεμνύθη τοῦ πράγματος ὁ ῥήτωρ, καίπερ πάντων τῶν ἐφήβων ἐξ ἀνάγκης περιπολούντων, αὐτὸς δύο ἔτη γέγονε ἐν τοῖς περιπόλοις· διὸ καὶ μαρτυρῶν ἐδήλωσεν αὐτῷ.

Περίστατοι, Ἰσοκράτης περὶ τῆς Ἀντιδόσεως· Θαυματοποιίαις ταῖς οὐδὲν ὠφελούσαις, ὑπὸ δὲ τῶν ἀνοήτων περιστάτοις γινομέναις, ἀντὶ τοῦ περὶ ἃς κύκλῳ ἵστανται οἱ θεώμενοι. τὸ ὄνομα καὶ ἐν Ἀρχιδάμῳ ἐστὶ καὶ παρ' Εὐπόλιδι ἐν Κόλαξι.

Περίστασιν. Δείναρχος Τυῤῥηνικῷ· Μετὰ ταῦτα τοῦ Δάμωνος, ἤδη περὶ ἀναγωγὴν ὄντα με περίστασιν ποιήσουσιν. οὗ καὶ μαρτυρεῖν ἀξιοῦντος, καὶ τὰ ἑξῆς. μήποτε τοιοῦτόν ἐστι τὸ λεγόμενον, ἐν κύκλῳ περιε-

(147)στη μὲν αὐτὸς καὶ οἱ συμπαρόντες αὐτῷ καὶ μαρτυρεῖν ἠνάγκαζον· ἵνα τὴν αὐτὴν ἔννοιαν ἔχῃ τῷ περίστατόν με ἐποίησαν. ἐν ἐνίοις δὲ παράστασιν ἀντὶ τοῦ περίστασιν γράφεται.

Περιστοιχίζεται. Δημοσθένης Φιλιππικοῖς φησι·
243 Μέλλοντας ἡμᾶς καὶ καθημένους περιστοιχίζεται. ἐκ μεταφορᾶς τῶν κυνηγετῶν, κατὰ γὰρ τὰς ἐκδρομὰς τῶν θηρίων ὀρθὰ ξύλα ἱστᾶσιν, ἃ καλοῦσι στίχους ἤγουν στοίχους, καταπεταννύντες αὐτῶν δίκτυα, ἵν' ἐὰν αὐτοὺς ἐκφύγῃ τὰ θηρία, εἰς τὰ δίκτυα ἐμπέσῃ, ὡς ὑποσημαίνει Ξενοφῶν ἐν τῷ κυνηγετικῷ. ἐν ἐνίοις μέντοι γράφεται περιστοιχίζεται, ἐν ἄλλοις δὲ καὶ περισχοινίζεται.

Περίστοιχοι, Δημοσθένης ἐν τῷ πρὸς Νικόστρατον περὶ τῶν Ἀρεθουσίου ἀνδραπόδων· Φυτευτήρια ἐλαιῶν περιστοίχων κατέκλασεν. Δίδυμος δέ τι γένος ἐλαιῶν περιστοίχους καλεῖ, ἃς Φιλόχορος στοιχάδας προσηγόρευσε. μήποτε δὲ περιστοίχους κέκληκεν ὁ ῥήτωρ τῶν κύκλῳ περὶ τὸ χωρίον ἐν στοίχῳ πεφυκότων.

Πεφασμένης, Λυκοῦργος ἐν τῷ κατὰ Λυκόφρονος, ἀντὶ τοῦ γεγενημένης. Λυσίας δ' ἐν τῷ κατὰ Θεομνήστου, εἰ γνήσιος, φησὶ τὸ μὲν πεφασμένως, ἀντὶ φανερῶς.

Περιφοριῶσθαι, Λυσίας ἐν τῇ πρὸς Πολυκράτην κατ' Ἐμπέδου ἐπιστολῇ, εἰ γνήσιος, φησίν· ἢ τὸν ὀφθαλμὸν τὸν ἕτερον γλαυκότερον εἶναι, ἢ περιφοριῶ-
244 σθαι. ἐπὶ τοῦ ἀποκεκλιμένου, ὥσπερ Εὐφορίων κέχρηται τῷ ὀνόματι. εἰσὶ γάρ τινες ὀφθαλμοὶ κεχαλασμένα ἔχοντες τὰ βλέφαρα καὶ οἱονεὶ μύοντες. ἐὰν δὲ γράφηται πεφορινῶσθαι, εἴη ἂν πεπαχύνθαι, ἀπὸ τῆς φορίνης· ὅτι γὰρ καὶ ἐπ' ἀνθρώπου τάσσουσι τὴν φορίνην δῆλον ποιεῖ Ἀντιφῶν ἐν δευτέρῳ ἀληθείας.

Πηγαί, Ἀνδοκίδης ἐν τῷ περὶ τῆς εἰρήνης, εἰ γνήσιος. Πηγαὶ τόπος ἐν Μεγάροις, ὡς ἐν τετάρτῳ τῆς Ἀτθίδος φησὶν Ἑλλάνικος.

(148) *Πήληξ,* Αἰσχίνης ἐν τῷ κατὰ Κτησιφῶντος.

δῆμός ἐστιν τῆς Λεοντίδος Πήληκες, ὥς φησι Διόδωρος ὁ περιηγητής.

Πινάκια, τὰ καθιέμενα ἀντὶ κλήρων ὑπὸ τῶν κληρονόμων. ἔοικε δ' εἶναι ταῦτα χαλκᾶ, ὡς ὑποσημαίνει Δημοσθένης ἐν τῷ περὶ τοῦ ὀνόματος. ἐν δὲ τοῖς Φιλιππικοῖς ὅταν λέγῃ, Μικρὸν, ὦ ἄνδρες Ἀθηναῖοι, μικρὸν πινάκιον, πάντα τὰ ἐνταῦθα τυχὸν, πινάκιον λέγει εἰς ὃ ἐγγράφεται τὰ ἐγκλήματα κατὰ τῶν εἰσαγγελλομένων, ὡς καὶ παρὰ Δεινάρχῳ ἐν συνηγορίᾳ Αἰσχίνου δείκνυται.

Πιτθεύς, δῆμος τῆς Κεκροπίδος ἡ Πιτθίς.

Πλειστηριάσαντες, ἀντὶ τοῦ ὑπερβαλόντες ἐν 245
τῇ τιμῇ τῶν πιπρασκομένων. Λυσίας ἐν τῷ πρὸς Ἀνδοκίδην, εἰ γνήσιος. κέχρηται τῷ ὀνόματι καὶ Πλάτων ὁ κωμικὸς ἐν Γρυψίν.

Πληρωτής, Δημοσθένης κατ' Ἀριστογείτονος. πληρωτὰς ἐκάλουν τοὺς ἀποδιδόντας τὸν ἔρανον τοῖς ἤτοι λαχοῦσιν ἢ ἐωνημένοις. εἶεν ἂν οὗτοι οἱ παρ' ἡμῖν καλούμενοι ἐρανάρχαι. τὸ δὲ πληρωτὴς ὄνομα καὶ ἐν τῷ κατὰ Μειδίου καὶ ἐν τῷ κατὰ τῶν Πατροκλέους παίδων Δείναρχος.

Πλινθεῖον, ὁ τόπος ἐν ᾧ ἡ πλίνθος πλάττεται. Λυσίας ἐν τῷ κατὰ Λυσιθέου.

Πλυντήρια, Λυκοῦργος ἐν τῷ περὶ τῆς Ἱερείας. ἑορτὴ παρ' Ἀθηναίοις.

Πλωθεύς, Δημοσθένης ἐν τῇ πρὸς Εὐβουλίδην ἐφέσει. Πλωθειά, δῆμος τῆς Αἰγηΐδος. ὅθεν ὁ δημότης Πλωθεύς.

Ποδοστράβη, Ὑπερίδης ἔν τε τῷ κατ' Ἀθηνογένους καὶ ἐν τῷ κατ' Αὐτοκλέους. ποδοστράβας ἔλεγον μηχανήματά τινα ὑπὸ τῶν κυνηγετῶν κατασκευαζόμενα, εἰς ἃ θηρία ἐσβαίνοντα ἡλίσκετο. διείλεκται δὲ Ξενοφῶν περὶ τῆς κατασκευῆς αὐτῶν ἐν τῷ περὶ κυνη- 246
γετικῶν, καὶ τῆς χρήσεως.

Ποδοκάκκη, Δημοσθένης κατὰ Τιμοκράτους. τὸ (149)
ξύλον τὸ ἐν δεσμωτηρίῳ οὕτως ἐκαλεῖτο, ἤτοι παρεμ-

βεβλημένου τοῦ ἑτέρου κάππα, ποδῶν τις κάκωσις οὖσα, ἢ κατὰ συγκοπήν, ὥς φησι Δίδυμος, οἷον ποδοκατοχή. Λυσίας δ' ἐν τῷ κατὰ Θεομνήστου, εἰ γνήσιος, ἐξηγεῖται τοὔνομα. φησὶ γὰρ ἡ ποδοκάκκη αὐτό ἐστιν ὃ νῦν καλεῖται ἐν τῷ ξύλῳ δεδέσθαι.

Πολιτεία. ἰδίως εἰώθασι τῷ ὀνόματι χρῆσθαι οἱ ῥήτορες ἐπὶ τῆς δημοκρατίας, ὥσπερ Ἰσοκράτης τε ἐν τῷ Πανηγυρικῷ καὶ Δημοσθένης ἐν τοῖς Φιλιππικοῖς.

Πολέμαρχος, Ἰσαῖος ἐν ἀπολογίᾳ ἀποστασίου πρὸς Ἀπολλόδωρον. ἀρχή τις ἦν παρ' Ἀθηναίοις οὕτω καλουμένη· ἔστι δὲ εἷς τῶν ἐννέα ἀρχόντων. Ἀριστοτέλης δ' ἐν τῇ Ἀθηναίων πολιτείᾳ διεξελθὼν ὅσα διοικεῖ ὁ πολέμαρχος πρὸς ταῦτά φησιν· Οὗτός τε εἰσάγει δίκας τάς τε τοῦ ἀποστασίου καὶ ἀπροστασίου καὶ κλήρων καὶ ἐπικλήρων τοῖς μετοίκοις, καὶ τἆλλα ὅσα τοῖς
247 πολίταις ὁ ἄρχων, ταῦτα τοῖς μετοίκοις ὁ πολέμαρχος. εἰκότως οὖν ὁ ῥήτωρ ἐν τῷ προειρημένῳ λόγῳ ἐγγυῆσαί φησι πρὸς τῷ πολεμάρχῳ Ἀπολλόδωρον· ὁ γὰρ Σάμιος τὸ γένος μέτοικος ἦν. ὅτι δὲ καὶ κύριον ὄνομα ο Πολέμαρχος τοῦ Λυσίου ἀδελφὸς αὐτός τε ὁ Λυσίας ἐν τῷ κατὰ Ἐρατοσθένους καὶ Πλάτων ἔν τε τῷ πρώτῳ τῆς πολιτείας καὶ ἐν Φαίδρῳ φησίν.

Πολίοχος καὶ Πολυκλῆς, ὀνόματα κύρια.

Πομπείας καὶ πομπεύειν, ἀντὶ τοῦ λοιδορίας καὶ λοιδορεῖν. Δημοσθένης ἐν τῷ ὑπὲρ Κτησιφῶντος. ἡ μεταφορὰ δὲ ἀπὸ τῶν ἐν ταῖς Διονυσιακαῖς πομπαῖς ἐπὶ τῶν ἁμαξῶν λοιδορουμένων ἀλλήλοις. Μένανδρος Περινθίᾳ,

ἐπὶ τῶν ἁμαξῶν εἰσὶ πομπεῖαί τινες
σφόδρα λοίδοροι.

(150) πομπεῖα δὲ λέγεται τὰ εἰς τὰς πομπὰς κατασκευαζόμενα σκεύη, ὡς καὶ ὁ αὐτὸς ῥήτωρ κατ' Ἀνδροτίωνος ὑποσημαίνει. πομπείοις δέ, φησὶ Φιλόχορος, πρότερον ἐχρῶντο οἱ Ἀθηναῖοι ἐκ τῆς οὐσίας τῶν Τριάκοντα κατασκευασθεῖσιν. ὀψὲ δέ, φησί, καὶ Ἀνδροτίων ἄλλα κατεσκεύασεν.

Πόριος, *Δημοσθένης* ἐν τῇ πρὸς *Εὐβουλίδην* ἐφέσει. Πόρος ἐστὶ δῆμος τῆς *Ἀκαμαντίδος*· ὁ δὲ δημότης *Πόριος*. καὶ πόρος, πέρας, ἢ ποταμὸς, ἢ ὁδὸς, ἢ φυσήματα ὑδάτων, ἢ μηχανὴ, ἢ τεχνάσματα, ἢ διάβασις. *Ἀριστοφάνης*, 248

τίς πόρος σοι τῆς ὁδοῦ γενήσεται;

αντὶ τοῦ διάβασις. καὶ πόροι ἀλίῤῥοθοι παρὰ *Σοφοκλεῖ* ἤγουν ποταμοὶ εἰς τὴν θάλατταν ῥέοντες. πόρος δὲ κυρίως ἐπὶ ὑγρῶν λέγεται· καὶ εὔπορος ὁ ἔχων ἀεὶ ἐπιῤῥέοντα πλοῦτον, ἐκ μεταφορᾶς τοῦ ὑδατικοῦ πόρου.

Πορθμὸς, *Δημοσθένης* ὑπὲρ *Κτησιφῶντος*. πόλις ἐστὶ τῆς *Εὐβοίας*.

Πολύγνωτος, *Λυκοῦργος* ἐν τῷ περὶ τῆς *Ἱερείας* περὶ *Πολυγνώτου* τοῦ ζωγράφου, *Θασίου* μὲν τὸ γένος, υἱοῦ δὲ καὶ μαθητοῦ *Ἀγλαοφῶντος*, τυχόντος δὲ τῆς *Ἀθηναίων* πολιτείας, ἤτοι ἐπεὶ τὴν *Ποικίλην* στοὰν ἀνέγραψε προῖκα, ἢ ὡς ἕτεροι, τὰς ἐν τῷ *Θησαυρῷ* καὶ τῷ *Ἀνακείῳ* γραφάς. ἱστορήκασιν ἄλλοι τε καὶ *Ἀρτέμων* ἐν τῷ περὶ *Ζωγράφων* καὶ *Ἰόβας* ἐν τοῖς περὶ *Γραφικῆς*.

Πολύστρατος, *Λυσίας* ἐν τῷ κατὰ *Θρασυβούλου*, εἰ γνήσιος· *Πολύστρατος* αἰτίαν ἔχων τοὺς *Ἑρμὰς* περικόψαι ἀνῃρέθη ὑπὸ *Ἀθηναίων*. ἕτερος δ' ἂν εἴη *Πολύστρατος* ὑπὲρ οὗ λόγος ἐστὶ *Λυσίᾳ* ἐπιγραφόμενος ὑπὲρ *Πολυστράτου* δήμου καταλύσεως ἀπολογία. ἄλλος δ' ἂν εἴη *Πολύστρατος* οὗ καὶ *Δημοσθένης* μνημονεύει ἐν τοῖς *Φιλιππικοῖς*, λέγων αὐτόν ποτε ἐν *Κορίνθῳ* ξενικὸν τρέφειν. μήποτε μέντοι ἐνταῦθα δεῖ γράφειν *Πολύτροπον*, ἀντὶ *Πολυστράτου*. παρὰ μηδενὶ γάρ φησιν ὁ *Δίδυμος* εὑρηκέναι τὸν *Πολύστρατον* ἡγησάμενον τοῦ ἐν *Κορίνθῳ* ξενικοῦ, τὸν *Πολύτροπον* μὲν οὖν ἐν τῇ ἕκτῃ τῶν *Ἑλληνικῶν* *Ξενοφῶντος* εὗρον· ἀλλ' οὔτε τὸ ξενικὸν τοῦτο ἔφησεν ὁ *Ξενοφῶν* τρέφεσθαι ὑπὸ *Ἀθηναίων* οὔτε αὐτὸς *Ἀθηναῖος* ἦν ὁ *Πολύτροπος*. 249 (151)

Ποσειδεών, Ὑπερίδης ἐν τῷ κατὰ Μαντιθέου. ὁ ἕκτος μὴν παρ' Ἀθηναίοις οὕτω καλεῖται.

Ποταμός, Λυσίας ἐν τῷ κατὰ Νικίου ἀργίας. Ποταμὸς, δῆμος τῆς Λεοντίδος, οὗ ὁ δημότης Ποτάμιος. ἐκωμῳδοῦντο δὲ ὡς ῥᾳδίως δεχόμενοι τοὺς πα-
250 ρεγγράπτους, ὡς ἄλλοι τε δηλοῦσι καὶ Μένανδρος ἐν ταῖς Διδύμαις.

Προβαλλομένους, ἀντὶ τοῦ ὑποτιθεμένους, οἷον πρὸ τῆς πράξεως εἰς τὸν νοῦν ἐμβαλλομένους, ὡς Δημοσθένης ὑπὲρ Κτησιφῶντος καὶ ἐν τῷ κατ' Αἰσχίνου. τὴν προαίρεσιν τῆς πολιτείας προβεβλημένην καὶ ἄπιστον εἶπεν, ἀντὶ τοῦ ἐλαφρῶς ἔχουσαν καὶ φυλαττομένην. ἐν δὲ τῷ ὑπὲρ Κτησιφῶντός φησι· Προβληθεὶς πυλάγορος οὗτος καὶ τριῶν ἢ τεττάρων χειροτονησάντων αὐτόν. ἐν δὲ τῷ κατὰ Μειδίου καὶ προὐβαλλόμην, φησὶν, ἀδικεῖν τοῦτον περὶ τὴν ἑορτὴν, ἀντὶ τοῦ προβολῇ ἐχρησάμην τῇ συνήθει καὶ νομιζομένῃ κατὰ τῶν περὶ τὴν ἑορτὴν ἀδικούντων, ὠνόμασα τοῦτον ἐν τῷ δήμῳ. ἐν δὲ τοῖς Φιλιππικοῖς φησι· Προβάλλεσθαι δὲ, ἢ βλέπειν ἐναντίον, οὔτε οἶδεν οὔτε ἐθέλει, ἀντὶ τοῦ προτείνειν τὰς χεῖρας ὡς εἰς μάχην.

Προβολὰς, ἀντὶ τοῦ ἀσφαλείας ἐκ πόλεων, ἢ τειχῶν, ἢ τινων ἄλλων δυνάμεων ἐπὶ σωτηρίᾳ καὶ κράτει γιγνομένων. Δημοσθένης ἐν τῷ περὶ τῶν πρὸς Ἀλέ-
251 ξανδρον συνθηκῶν, εἰ γνήσιος. παρὰ δ' Αἰσχίνῃ ἐν τῷ
(152) περὶ τῆς παραπρεσβείας ἡ προβολὴ τοὔνομα γέγονεν ἀπὸ τοῦ προβάλλεσθαί τινα ἀδικεῖν.

Προβούλευμα, τὸ ὑπὸ τῆς βουλῆς ψηφισθὲν, πρὶν εἰς τὸν δῆμον εἰσενεχθῆναι. Δημοσθένης ἐν τῷ κατ' Αἰσχίνου.

Προβόλιον, εἶδος δόρατος, ᾧ χρῶνται οἱ κυνηγέται πρὸς τὴν τῶν συῶν θήραν. Ὑπερίδης ἐν τῷ περὶ τῆς φυλακῆς τῶν τριήρων, τροπικῶς, ἐκ μεταφορᾶς ἐχρήσατο τῷ ὀνόματι. ὅτι δὲ δόρυ τι σημαίνει πολλάκις ἔστι μαθεῖν ἐκ τοῦ Ξενοφῶντος κυνηγετικοῦ.

Πρόβολοι, αἱ εἰς θάλασσαν ἐγκείμεναι πέτραι καὶ οἷον ἀκταί τινες. Δημοσθένης Φιλιππικοῖς.

Πρόεδροι, ἐκληροῦντο τῶν πρυτανέων καθ' ἑκάστην πρυτανείαν εἷς ἐξ ἑκάστης φυλῆς, πλὴν τῆς πρυτανευούσης, οἵτινες τὰ περὶ τὴν ἐκκλησίαν διῴκουν. ἐκαλοῦντο δὲ πρόεδροι, ἐπειδήπερ προήδρευον τῶν ἄλλων ἁπάντων. πολλάκις δ' ἐστὶ τοὔνομα παρὰ τοῖς ῥήτορσιν, ὡς καὶ παρὰ Δημοσθένει ἐν τῷ κατ' Ἀνδροτίωνος καὶ Αἰσχίνῃ ἐν τῷ κατὰ Κτησιφῶντος. ὅτι δ' ὁ καλούμενος 252
ἐπιστάτης κληροῖ αὐτούς, εἴρηκεν Ἀριστοτέλης ἐν Ἀθηναίων πολιτείᾳ.

Προηροσία, Ὑπερίδης Δηλιακῷ. ὄνομα θυσίας.

Προθεσμίας νόμος, Δημοσθένης ὑπὲρ Φορμίωνος. τὴν τῶν πέντε ἐτῶν ἂν λέγοι προθεσμίαν ὁ ῥήτωρ, ὡς ἐν τῷ λόγῳ ὑποσημαίνει καὶ Λυσίας ἐν τῷ πρὸς Μενέστρατον, εἰ γνήσιός ἐστιν ὁ λόγος.

Πρόκλησις. εἰώθεσαν ὁπότε δικάζοιντό τινες ἐξαιτεῖν ἐνίοτε θεραπαίνας ἢ θεράποντας εἰς βάσανον, ἢ εἰς μαρτυρίαν τοῦ πράγματος, καὶ τοῦτο ἐκαλεῖτο προκαλεῖσθαι· τὸ δὲ γραμματεῖον τὸ περὶ τούτου γραφόμενον ὠνομάζετο πρόκλησις. παρὰ πολλοῖς δέ ἐστι ῥήτορσι. Δημοσθένης δ' ἐν τῷ κατὰ Στεφάνου καὶ περὶ ὧν πρόκλησις γίνεται δηλοῖ.

Προκώνια, Λυκοῦργος κατὰ Μενεσαίχμου. Δί- (153)
δυμος δὲ προκώνια, φησίν, ἐστὶ πυροὶ μέλιτι κεχρισμένοι. Ἀριστοφάνης δὲ ὁ γραμματικὸς καὶ Κράτης τὰ ἐξ ἀφρύκτων κριθῶν οὕτω φασὶν ὀνομάζεσθαι. ἔοικε δὲ καὶ ἐκ πυρῶν καὶ ἐκ κριθῶν γίνεσθαι, ὡς Ἀντικλείδης ἐν τοῖς ἐξηγητικοῖς ὑποσημαίνει. Δήμων δ' ἐν τῷ 253
περὶ Θυσιῶν φησι· Καὶ προκώνιά ἐστι κάγχρυς κατηριγμέναι μετὰ ἀρωμάτων.

Προμετρητὴς, ὁ τοὺς πιπρασκομένους πυροὺς ἐν τῇ ἀγορᾷ καὶ τῶν ἄλλων σπερμάτων ἕκαστον διαμετρῶν καὶ ὁ τούτου τοῦ ἔργου μισθὸν λαμβάνων προμετρητὴς ἐκαλεῖτο. Ὑπερίδης ἐν τῷ περὶ τοῦ Ταρί-

χους καὶ Δείναρχος κατ' Ἀγασικλέους, Σκύθου τοίνυν τοῦ προμετρητοῦ υἱὸς ἐν δημόταις γέγονε, καὶ οὗτος ἐν τῇ ἀγορᾷ προμετρῶν διατετέλεκεν καὶ ὑμεῖς ἐκλαμβανόμενοι παρ' αὐτοῦ τοὺς πυροὺς διατελεῖτε.

Πρόνοια, Αἰσχίνης ἐν τῷ κατὰ Κτησιφῶντος. ὠνομάζετό τις παρὰ Δελφοῖς Ἀθηνᾶ Πρόνοια, διὰ τὸ πρὸ τοῦ ναοῦ ἱδρῦσθαι, ἢ ὅτι προὐνόησεν ὅπως τέκοι ἡ Λητώ. ταύτην δὲ Ἡρόδοτος ἐν τῇ ὀγδόῃ Προνοίην ὀνομάζει. ἱστορήκασι δὲ περὶ αὐτῆς ἄλλοι τε καὶ Στάφυλος ἐν τῷ περὶ τῶν Αἰολέων.

Πρόπεμπτα, Λυσίας ἐν τῷ πρὸς τὴν Μιξιδήμου γραφήν, εἰ γνήσιος, καὶ Δημοσθένης ἐν τῷ περὶ Ἁγνίου
254 κλήρου. Δίδυμος, μήποτε, φησίν, ἄλλα τινά ἐστιν ἐπιτίμια τὰ πρὸ τῆς καταβολῆς· εἰσὶ γὰρ οἳ τὰ πέμπτα τῶν τιμημάτων παρακαταβάλλεσθαί φασιν, ὡς Λυσίας ἐν τῷ κατὰ Ἀπολλοδώρου ὑποσημαίνει, εἰ μὴ ἄρα πρόπεμπτα ὡς Δημοσθένης πρὸς ἡμέρας πέντε· ταῖς γὰρ μεγάλαις δίκαις οὐκ ἤρκει μία ἡμέρα πρὸς τὴν κρίσιν.

Προπεπωκότες, ἀντὶ τοῦ προδεδωκότες, ἐκ μεταφορᾶς. λέγεται δὲ προπεπωκέναι παρὰ τὴν συνουσίαν πολλὰ μὲν ἀργυρώματα τὸν προειρημένον, πολλὰ δὲ
(154) χρυσώματα τῷ Προυσίᾳ. καὶ Δημοσθένης ὑπὲρ Κτησιφῶντος. ἐν ἀρχῇ δὲ τῶν Μυρμιδόνων Αἰσχύλος,

τάδε μὲν λεύσσεις, φαίδιμ' Ἀχιλλεῦ,
δοριλυμάντους Δαναῶν μόχθους,
οὓς [προπέπωκας] εἴσω κλισίας.

Προπύλαια ταῦτα. Δημοσθένης Φιλιππικοῖς. δύναται μὲν δεικτικῶς λέγεσθαι, ἅτε ὁρωμένων τῶν προπυλαίων ἀπὸ τῆς πνυκός· βέλτιον δὲ ἀναφορικῶς ἀκούειν. ἐπὶ γὰρ τῶν πάνυ γνωρίμων οὕτω λέγειν εἰώθασιν. ἐν γοῦν τῷ κατ' Αἰσχίνου αὐτὸς ὁ Δημοσθένης φησίν· Ἤρετο Σάτυρον τουτονὶ τὸν κωμικὸν ὑποκρι-
255 τήν. περὶ δὲ τῶν προπυλαίων τῆς ἀκροπόλεως, ὡς ἐπὶ Εὐθυμένους ἄρχοντος οἰκοδομεῖν ἤρξαντο Ἀθηναῖοι, Μνησικλέους ἀρχιτεκτονοῦντος, ἄλλοι τε ἱστορήκασι καὶ

Φιλόχορος ἐν τῇ τετάρτῃ. Ἡλιόδωρος δ' ἐν πρώτῳ περὶ τῆς Ἀθήνησιν ἀκροπόλεως μεθ' ἕτερα καὶ ταῦτά φησιν· Ἐν ἔτεσι μὲν πέντε παντελῶς ἐξεποιήθη, τάλαντα δὲ ἀνηλώθη δισχίλια δώδεκα. πέντε δὲ πύλας ἐποίησαν, δι' ὧν εἰς τὴν ἀκρόπολιν εἰσίασιν.

Π ρ ο σ ε π ο ι ή σ α ν τ ο, ἀντὶ τοῦ ἀντεποιήσαντο. Ἰσαῖος ἐν τῷ κατὰ Νικοδήμου· οὐδεὶς πώποτε προσεποιήσατο, οὐδ' ἠμφισβήτησεν τῆς κληρονομίας ἐκείνων.

Π ρ ό σ κ λ η σ ι ς, ἡ εἰς δικαστήριον κλῆσις· καὶ προσκαλέσασθαι τὸ παραγγέλλειν εἰς δίκην. Δημοσθένης ἐν τῷ περὶ τοῦ Ἁγνίου κλήρου καὶ Ὑπερίδης ἐν τῷ πρὸς Δάμιππον.

Π ρ ο σ π ά λ τ ι ο ι, Λυσίας ἐν τῷ περὶ Μακαρτάτου κλήρου. Πρόσπαλτα δῆμος τῆς Ἀκαμαντίδος.

Π ρ ο σ τ ά τ η ς. οἱ τῶν μετοίκων Ἀθήνησι προεστηκότες προστάται ἐκαλοῦντο· ἀναγκαῖον γὰρ ἦν ἑκάστῳ τῶν μετοίκων πολίτην τινὰ Ἀθηναίων νέμειν προ- 256
στάτην. Ὑπερίδης ἐν τῷ κατὰ Ἀρισταγόρας. μέμνηται (155)
καὶ Μένανδρος ἐν ἀρχῇ τῆς Περινθίας.

Π ρ ο σ τ α σ ί α. Δημοσθένης ἐν τῷ κατὰ Ὀνήτορος· Ταῦτα οὐχ ὁμολογουμένη προστασία; ἀντὶ τοῦ βοήθεια, προϊσταμένου τινὸς καὶ ἐπικουροῦντος τῷ ἀδικουμένῳ. Αἰσχίνης ἐν τῷ περὶ τῆς παραπρεσβείας· Ὡς δεῖ τὰ τῆς Ἀθηναίων ἀκροπόλεως προπύλαια μετενεγκεῖν εἰς τὴν προστασίαν τῆς Καδμείας. Δίδυμος τὴν προστασίαν φησὶ κεῖσθαι ἀντὶ τοῦ προστάσεως, τουτέστι τῆς ὑπ' ἐνίων προστάδος καλουμένης.

Π ρ ὸ ς τ ῇ π υ λ ί δ ι Ἑ ρ μ ῆ ς. Δημοσθένης ἐν τῷ κατ' Εὐέργου. Φιλόχορος ἐν τῇ πέμπτῃ Ἀθηναίων φησὶ περὶ τοῦ πρὸς τῇ πυλίδι Ἑρμοῦ, ὡς ἀρξάμενοι τειχίζειν τὸν Πειραιᾶ οἱ ἐννέα ἄρχοντες τοῦτον ἀναθέντες ἐπέγραψαν,

ἀρξάμενοι πρῶτοι τειχίζειν τόνδ' ἀνέθηκαν
βουλῆς καὶ δήμου δόγμασι πειθόμενοι.

Προστιμήματα, ἔστι μέν τινα ἐν τοῖς νόμοις ὡρισμένα κατὰ τῶν ἀδικούντων, ὥσπερ ἡ ἐπωβελία παρ' Ἰσαίῳ ἐν τῷ κατὰ Διοκλέους. ἔστι δὲ καὶ ἄλλα ἃ προσ-
257 τιμᾶται τὸ δικαστήριον, ὡς δείκνυσι Δημοσθένης ἐν τῷ κατὰ Τιμοκράτους.

Προστρόπαιον. Αἰσχίνης ἐν τῷ περὶ τῆς παραπρεσβείας· Ἐάσατε οὖν αὐτὸν τὸ τοιοῦτον προστρόπαιον; ἀντὶ τοῦ ἄγος καὶ τὸ μίασμα. καὶ προστροπὴ δὲ παρὰ τοῦτο λέγεται. ἐν γοῦν τῷ κατὰ Κτησιφῶντος ἐκ παραλλήλου τίθησι τὰ ὀνόματα ὁ ῥήτωρ. κεῖται δὲ τοῦτο τὸ ὄνομα καὶ παρὰ Δεινάρχῳ ἐν τῷ κατὰ Φορμισίου ἀσεβείας.

Προτέλεια, Λυκοῦργος ἐν τῷ περὶ τῆς Ἱερείας. τὰ πρὸ τοῦ τελεσθῆναί τι τῶν εἰς τὸ θεῖον ἀναφερομένων γινόμενα, ἢ διδόμενα, καλεῖται προτέλεια.

Προφερεῖς, οἱ νέοι μὲν ὄντες, πρεσβύτεροι δὲ φαινόμενοι. Αἰσχίνης ἐν τῷ κατὰ Τιμάρχου.

(156) *Προσφορά*, ἀντὶ τοῦ πρόσοδος. Ἀντιφῶν ἐν τῷ περὶ τοῦ Λινδίων φόρου· καὶ παρ' ἄλλοις δὲ τοὔνομα.

Προχειροτονία. ἔοικεν Ἀθήνησι τοιοῦτό τι γίγνεσθαι. ὁπόταν τῆς βουλῆς προβουλευσάσης εἰσφέρηται εἰς τὸν δῆμον ἡ γνώμη, πρότερον γίνεται χειροτο-
258 νία ἐν τῇ ἐκκλησίᾳ, πότερον δοκεῖ περὶ τῶν προβουλευσάντων σκέψασθαι τὸν δῆμον, ἢ ἀρκεῖ τὸ προβούλευμα. ταῦτα δ' ὑποσημαίνεται ἐν τῷ Λυσίου πρὸς τὴν Μιξιδήμου γραφήν.

Προσχαιρητήρια, Λυκοῦργος ἐν τῇ Κροκωνιδῶν διαδικασίᾳ. ἑορτὴ παρ' Ἀθηναίοις γραφομένη, ὅτε δοκεῖ ἀπιέναι ἡ κόρη.

Πρυτανεῖα, Ἰσοκράτης ἐν τῇ πρὸς Καλλίμαχον παραγραφῇ. ἔστι δὲ καὶ παρὰ τοῖς ἄλλοις Ἀττικοῖς τὰ πρυτανεῖα. ἦν δὲ ἀργύριόν τι ὅπερ κατετίθεσαν οἱ δικαζόμενοι ἀμφότεροι, καὶ ὁ φεύγων καὶ ὁ διώκων.

Πρυτανείας, Ἀντιφῶν ἐν τῷ πρὸς Νικοκλέα. ἔστι δὲ ἀριθμὸς ἡμερῶν ἡ πρυτανεία ἤτοι τριάκοντα

ξξ, ἢ τριάκοντα πέντε· καὶ ἑκάστη φυλὴ πρυτανεύει. διείλεκται δὲ περὶ τούτων Ἀριστοτέλης ἐν τῇ Ἀθηναίων πολιτείᾳ.

Πρυτανεύοντα, κυρίως μὲν ἀντὶ τοῦ πρυτανέα ὄντα· ἀντὶ δὲ τοῦ διοικοῦντα Δημοσθένης ἐν Φιλιππικοῖς· ἐν δὲ ἑτέρῳ Φιλιππικῷ πρυτανευόμενοι φησὶν ἀντὶ τοῦ διοικούμενοι καὶ διαστρεφόμενοι.

Πρυτάνεις. τὸ δέκατον μέρος τῆς βουλῆς τῶν πεν- 259
τακοσίων πεντήκοντα ἄνδρες ἀπὸ μιᾶς φυλῆς, οἱ διοικοῦντες ἅπαντα τὰ ὑπὸ τῆς βουλῆς ταττόμενα, πρυτάνεις ἐκαλοῦντο· ἐπρυτάνευον δὲ ἐκ διαδοχῆς ἀλλήλαις αἱ δέκα φυλαὶ κλήρῳ λαχοῦσαι, ὡς Αἰσχίνης ἐν τῷ κατὰ Κτησιφῶντος· Διαπιστοῦντες δὲ οἱ πρυτάνεις ἤδη τῷ Φιλίππῳ διὰ τὴν περὶ τὰ Κρητικὰ κακοπραγμοσύνην καὶ τὸν Ἡρακλείδην ὑπώπτευον ἐγκάθετον εἶναι.

Πυθόδωρος, Δημοσθένης. ὄνομα κύριον.

Πυανοψίαι, Λυκοῦργος ἐν τῷ κατὰ Μενεσαίχμου (157) καὶ ἡμεῖς Πυανοψίαν ταύτην τὴν ἑορτὴν καλοῦμεν; οἱ δ' ἄλλοι Ἕλληνες Πανοψίαν, ὅτι πάντας εἶδον καρποὺς τῇ ὄψει. Ἀπολλώνιος καὶ σχεδὸν οἱ περὶ τῶν Ἀθήνησιν ἑορτῶν γεγραφότες Πυανεψιῶνος ἑβδόμῃ τὰ Πυανέψια Ἀπόλλωνι ἄγεσθαί φησι· δεῖν δέ φασι λέγειν Πυανέψια καὶ τὸν μῆνα Πυανεψιῶνα· πύανα γὰρ ἕψουσιν ἐν αὐτῇ καὶ ἡ εἰρεσιώνη ἄγεται.

Πύγελα, Λυσίας ἐν τῷ ὑπὲρ Βακχίου, εἰ γνήσιος. πόλις ἐστὶν ἐν τῇ Ἰωνίᾳ τὰ Πύγελα, ἣν Θεόπομπός φησιν ἐν ἕκτῃ λαβεῖν τοὔνομα, ἐπειδὴ τῶν μετ' 260
Ἀγαμέμνονός τινες διὰ νόσον τὴν περὶ τὰς πυγὰς ἐνταῦθα κατέμειναν.

Πτώματα ἐλαιῶν. Λυσίας ἐν τῷ κατὰ Νικίου· λέγοι ἂν ἤτοι τὸν καρπὸν τὸν ἀποπεπτωκότα τῶν φυτῶν, ἢ αὐτὰ τὰ δένδρα κατά τινα τύχην πεπτωκότα.

Πυελίδα, τὸ ὑφ' ἡμῶν λεγόμενον σφραγιδοφυλάκιον. Λυσίας ἐν τῷ κατ' Εὐφήμου καὶ Ἀριστοφάνης Ἥρωσιν.

Πυθαεία, Ὑπερίδης πρὸς Ἀπελλαῖον. ἄπορον πῶς ἀπὸ τούτου ἐσχημάτισται παρὰ τῷ Διδύμῳ· καὶ γὰρ οὐ δι' ὧν παρέθετο ὁ γραμματικὸς ὠνόμασε τὰ Πύθια ἑορτήν, ἀλλὰ τὸν Πύθιον Ἀπόλλωνα.

Πνυκί, Ὑπερίδης ἐν τῷ ὑπὲρ Χαιρεφίλου πρώτῳ φησί· Καὶ τῆς πνυκὸς τοσοῦτον εὑρισκούσης ἡ τῶν Ἀθηναίων ἐκκλησία οὕτως ἐκαλεῖτο. πολλὴ δ' ἡ μνήμη αὐτῆς παρ' Ἀττικοῖς. Κλείδημος δ' ἐν τρίτῳ Πρωτογονίας, συνῄεσαν, φησίν, εἰς τὴν πνύκα ὀνομασθεῖσαν διὰ τὸ τὴν συνοίκησιν πυκνουμένην εἶναι.

Πύλαι καὶ Πυλαία καὶ Πυλαγόρας. Πύλαι
261 μὲν καλοῦνται αἱ Θερμοπύλαι. Δημοσθένης Φιλιππικοῖς. ἐκλήθησαν δὲ οὕτω διὰ τὸ στενὴν εἶναι ταύτην τὴν εἴσοδον ἀπὸ Θετταλίας εἰς τὴν Φωκίδα πορευομένοις. Πυλαία δὲ ἐκαλεῖτο ἡ εἰς τὰς Πύλας σύνοδος
(158) τῶν Ἀμφικτυόνων. Δημοσθένης ὑπὲρ Κτησιφῶντος. ὅτι δέ τις ἐγίγνετο σύνοδος τῶν Ἀμφικτυόνων εἰς Πύλας, Ὑπερίδης τε ἐν Ἐπιταφίῳ καὶ Θεόπομπος ἐν τῇ τριακοστῇ εἰρήκασιν. ἐπέμποντο δὲ ἐκ τῶν πόλεων τῶν μετεχουσῶν τῆς Ἀμφικτυονίας τινές, οἵπερ ἐκαλοῦντο πυλαγόραι. μνημονεύουσι δὲ καὶ τούτων πολλοί, ὥσπερ καὶ Δημοσθένης ἐν τῷ ὑπὲρ Κτησιφῶντος καὶ Ἀριστοφάνης ἐν ταῖς δευτέραις Θεσμοφοριαζούσαις.

Πυριλάμπης, Ἀντιφῶν ἐν τῷ περὶ τῶν Ταῶν, ὄνομα κύριον.

Πύῤῥα, Λυσίας ἐν τῷ κατὰ Θρασυβούλου, εἰ γνήσιος. Πύῤῥα μία πόλις ἐστὶ τῶν ἐν Λέσβῳ, ὡς μαρτυροῦσιν οἱ τὰς περιόδους γράψαντες.

Πωληταὶ καὶ πωλητήριον. οἱ μὲν πωληταὶ ἀρχή τις Ἀθήνησι, δέκα τὸν ἀριθμὸν ἄνδρες, εἷς ἐκ τῆς φυλῆς ἑκάστης· διοικοῦσι δὲ τὰ πιπρασκόμενα ὑπὸ τῆς
262 πόλεως πάντα, τέλη καὶ μέταλλα καὶ μισθώσεις καὶ τὰ δημευόμενα. Ὑπερίδης ἐν τῷ κατ' Ἀρισταγόρας δευτέρῳ. διείλεκται δὲ περὶ αὐτῶν Ἀριστοτέλης ἐν Ἀθηναίων πολιτείᾳ. πωλητήριον δὲ καλεῖται ὁ τόπος ἔνθα

συνεδρεύουσιν οἱ πωληταί. Ἰσαῖος ἐν τῷ κατ' Ἐλπαγόρου πολλάκις.

Πῶλας, ἀντὶ τοῦ πράσεις. Ὑπερίδης ἐν τῷ πρὸς Ἀπελλαῖον. ἔστι τοὔνομα καὶ ἐν τοῖς Σώφρονος Ἀνδρείοις.

Πωλῶσι. Δημοσθένης ἐν τῷ κατὰ Νεαίρας· Ἢ ἐν τῇ ἀγορᾷ πωλῶσί τι ἀποπεφασμένως. Δίδυμός φησιν ἀντὶ τοῦ πορνεύωσι φανερῶς· πωλεῖν γὰρ τὸ παρέχειν ἑαυτὴν τοῖς βουλομένοις· ὅθεν καὶ τὸ πορνεύειν, ὅπερ ἐστὶ περνάναι. ἐγὼ δέ φημι ὅτι κυρίως ἔταξε νῦν ὁ ῥήτωρ τὸ πωλεῖν. φησὶ γὰρ τὸν νόμον οὐκ ἐᾶν ἐπὶ ταύτης μοιχὸν λαβεῖν ὁπόσαι ἂν ἐπ' ἐργαστηρίου κάθωνται, ἢ ἐν τῇ ἀγορᾷ πωλῶσί τι ἀποπεφασμένως.

Πώμαλα, ἀντὶ τοῦ οὐδαμῶς. Δημοσθένης ἐν τῷ
κατ' Αἰσχίνου· οὐχ ἵνα ἐξέλθητε πώμαλα. ἔστι δὲ τὸ (159)
μὲν πῶ Δώριον, τιθέμενον ἀντὶ τοῦ πόθεν, τὸ δὲ μάλα ἤτοι παρέλκει, ἢ ἐν συνηθείᾳ λεγόμενον ἐν τῷ πώμαλα, οἷον οὐ μάλα, οὐ πάνυ. πολὺ δέ ἐστιν ἐν τῇ ἀρχαίᾳ κωμῳδίᾳ. Ἀριστοφάνης ἐν Κωκάλῳ,

λοιδορία τίς ἐγένεθ' ὑμῖν πώμαλα,
οὐδὲν εἶπον οὐδενί.

P.

Ῥαΐσας, ἀντὶ τοῦ ῥάως ἔχων ἐκ τῆς νόσου. Δημοσθένης Φιλιππικοῖς.

Ῥηναία, Ὑπερίδης Δηλιακῷ. ἔστι δὲ νῆσος πλησίον Δήλου.

Ῥητορικὴ γραφὴ, Ἰσαῖος ἐν τῷ πρὸς Εὐκλείδην. ἔοικε ῥητορικὴ γραφὴ καλεῖσθαι ἡ κατὰ ῥήτορος γράψαντός τι ἢ εἰπόντος ἢ πράξαντος παράνομον. καὶ ὥσπερ λέγεται πρυτανικὴ ἡ κατὰ πρυτάνεως, καὶ ἐπιστατικὴ ἡ κατ' ἐπιστάτου. ἴσως δὲ καὶ κατὰ τοῦτο ῥητορικαὶ γραφαί τινες καλοῦνται, ὅτι κατὰ διαφόρους νόμους αἱ κατὰ τῶν ῥητόρων γραφαὶ εἰσάγονται, ὡς Ἀντιφῶν ἐν τῷ κατὰ πρυτάνεως, εἰ γνήσιος, ὑποσημαίνει.

264 **Ῥίνων**, Ἰσοκράτης ἐν τῇ πρὸς Καλλίμαχον παραγραφῇ, ὄνομα κύριον.

Ῥοδογύνη, γυνὴ μὲν Ὑστάσπου, Ξέρξου δὲ καὶ Δαρείου μήτηρ.

Ῥοδωνιά, Δημοσθένης ἐν τῷ περὶ τῶν Ἀρεθουσίου ἀνδραπόδων. ῥοδωνιά ἐστιν ἡ τῶν ῥόδων φυτεία· ὥσπερ ἰωνιὰ ἡ τῶν ἴων, ὡς Ἑκαταῖος ἐν πρώτῳ περιηγήσεως δηλοῖ.

Ῥόθιον, Ὑπερίδης ἐν τῷ περὶ τοῦ Πολύευκτον στρατηγεῖν. ῥόθιον καλεῖται παρὰ τὸν ῥόθον τὸν ἐκ τῶν κωπῶν ἀκουόμενον, ὅταν σφοδρῶς ἐλαύνωσιν. (160) τοὔνομα παρὰ πολλοῖς, καὶ παρ' Ἀριστοφάνει ἐν Ἱππεῦσι καὶ Θουκυδίδῃ ἐν τετάρτῃ.

Ῥόπτρον. Λυσίας κατ' Ἀνδοκίδου ἀσεβείας· Ἔδησε

τὸν ἵππον ἐκ τοῦ ῥόπτρου τοῦ ἱεροῦ. νῦν τὸν τῆς θύρας κρίκον λέγει, ὡς καὶ ἄλλοι, Ἀριστοφάνης Ἀμφιάρεῳ, Ξενοφῶν Ἑλληνικῶν ἕκτῳ.

Ῥυτὰ, συνεσταλμένως εἶδός ἐστι ποτηρίου. Δημοσθένης κατὰ Μειδίου. ἐκτεταμένως παρ' ἡμῖν λεγόμενα. ὁμοίως Κρατῖνος ἐν Ὥραις.

Σ.

265 **Σαβοί**, *Δημοσθένης ὑπὲρ Κτησιφῶντος.* οἱ μὲν Σαβοὺς λέγεσθαι τοὺς τελουμένους τῷ Σαβαζίῳ, τουτέστι τῷ Διονύσῳ, καθάπερ τοὺς τῷ Βάκχῳ Βάκχους. τὸν δὲ αὐτὸν εἶναι Σαβάζιον καὶ Διόνυσόν φασιν ἄλλοι τε καὶ Ἀμφίθεος δευτέρῳ περὶ Ἡρακλείας. οὕτω δέ φασι καὶ τοὺς Ἕλληνάς τινες τοὺς Βάκχους Σαβοὺς καλεῖν. Μνασέας δὲ ὁ Παταρεὺς υἱὸν εἶναί φησι τοῦ Διονύσου Σαβάζιον.

Σείρινα, *Λυκοῦργος περὶ τῆς διοικήσεως.* Σείρινα, σείριον ἐκάλουν λεπτὸν ἱμάτιον ἀσπάθητον, οἷον θέριστρον, καθά φασιν οἱ γλωσσογράφοι. καὶ σειρὴν δὲ ὁ λεπτὸς καὶ διαφανὴς χιτὼν, εὔθετος τότε ὅτε ἐστὶν ὁ Σείριος. ἔστι δὲ καὶ Σεῖρις πόλις Ἰταλική· καὶ τάχα τὰ ἔνθεν ὑφάσματα, ἤ τινα ἄλλα σείρινα εἶπεν ὁ ῥήτωρ. ἐν ἐνίοις μέντοι χωρὶς τοῦ ι γράφεται σέρινα.

Σεμναὶ θεαί. οὕτω καλοῦσιν Ἀθηναῖοι τὰς Ἐριννύας.

266 **Σέῤῥειον** τεῖχος καὶ Σίῤῥιον, ὀνόματα χωρίων.

Σεσημασμένῳ, ἀντὶ τοῦ ἐσφραγισμένῳ. Δημοσθένης ἐν τῷ περὶ τοῦ ὀνόματος. Ὑπερίδης ἐν τῷ κατ' Ἀντίου ὀρφανικῷ.

(161) **Σεύθης**, *Λυσίας ἐν τῷ κατὰ Θρασυβούλου.* ἔστι δέ τις τῶν ἐν Θρᾴκῃ βασιλέων.

Σηκός. ἐπιγράφεταί τις λόγος Λυσίου ἐν τῇ τῆς εὐσεβείας ὑπὲρ τοῦ σηκοῦ ἀπολογίᾳ, ἐν ᾧ δῆλόν ἐστιν ὡς περὶ ἐλαίας ἐκκοπείσης ὁ λόγος ἐστί. γράφει δὲ καὶ ταυτί ὁ ῥήτωρ· ὃς δύο ἔτη ἐγεώργησεν, οὔτε ἰδίαν ἐλαίαν οὔτε μορίαν οὔτε σηκὸν παραλαβών. μήποτε

οὖν τὰς μὲν ἰδιωτικὰς ἐλαίας καλοῦσι, τὰς δὲ δημοσίας μορίας· σηκὸν δὲ, ὡς ἔοικε, καὶ μορίαν ὀνομάζουσι τὴν αὐτήν.

Σηράγγιον, Λυσίας ἐν τῷ κατ' Ἀνδροτίωνος. χωρίον τι τοῦ Πειραιέως οὕτως ἐκαλεῖτο. μνημονεύει δ' αὐτοῦ καὶ Ἀριστοφάνης ἐν Γεωργοῖς.

Σημεῖα. οὕτω λέγουσι τὰς σφραγῖδας. Δημοσθένης ἐν τῷ πρὸς Φαίνιππον.

Σθένελος, Λυσίας ἐν τῷ πρὸς Διογένην. καὶ ἐν ταῖς Διδασκαλίαις εὑρίσκεται ὁ Σθένελος τραγῳδίας 267 ποιητής. ἐκωμῴδει δὲ αὐτὸν ὁ τοὺς Πλάτωνος Λάκωνας γράψας ὡς τἀλλότρια ἐπισφετεριζόμενον.

Σίγειον, Δημοσθένης Φιλιππικοῖς. πόλις ἐστὶ τῆς Τρῳάδος, οὐκ ἄπωθεν τοῦ Ἰλίου.

Σιμὸς, Δημοσθένης ὑπὲρ Κτησιφῶντος. εἷς τῶν Ἀλευάδων οὗτός ἐστι τῶν δοκούντων συμπρᾶξαι τῷ Μακεδόνι.

Σίμων, ὄνομα κύριον.

Σίμυλος. Δημοσθένης ἐν τῷ ὑπὲρ Κτησιφῶντός φησιν· Ἀλλὰ μισθώσας σαυτὸν τοῖς βαρυστόνοις ὑποκριταῖς Σιμύλῳ καὶ Σωκράτει.

Σινώπη, Δημοσθένης ὑπὲρ Κτησιφῶντος. Ἡρόδικος ἐν γ' κωμῳδουμένων φησὶν ὅτι Σινώπη ἡ ἑταίρα Ἄβυδος ἐλέγετο διὰ τὸ γραῦς εἶναι. καὶ παροιμία Σινωπῆσαι. τοῦτο πεποίηται παρὰ τὴν ἑταίραν Σινώπην· ἐκωμῳδεῖτο γὰρ ἐπὶ τῷ κατασχημονῆσαι, καθάπερ Ἄλεξις ἔφη. καὶ Σινωπήτης.

Σικύα, Λυσίας ἐν τῷ περὶ ἡμικληρίου τῶν Μα- (162) καρτάτου χρημάτων. σιτηρὸν ἀγγεῖόν ἐστιν ἡ σικύα. ἔστι δὲ πολλάκις παρὰ τοῖς ἀρχαίοις κωμικοῖς. Εὔπολις Χρυσογένει, Ἀριστοφάνης Τελμισεῦσιν.

Σιτηρέσιον, τὸ διδόμενόν τισιν εἰς τροφήν. Δη- 263 μοσθένης ἐν τῷ περὶ ἐπιτριηραρχήματος.

Σῖτος, Δημοσθένης ἐν τῷ κατ' Ἀφόβου πρώτῳ. σῖτος καλεῖται ἡ διδομένη πρόσοδος εἰς τροφὴν ταῖς

γυναιξὶν ἢ τοῖς ὀρφανοῖς, ὡς ἐξ ἄλλων μαθεῖν ἔστι καὶ ἐκ τοῦ Σόλωνος πρώτου κατὰ τοῦ ἄξονος καὶ ἐκ τῆς Ἀριστοτέλους Ἀθηναίων πολιτείας. Τιμαχίδας δὲ ἡγεῖται παρὰ τοῖς Ἀττικοῖς σῖτον λέγεσθαι τὸν τόκον· ἀγνοεῖ δὲ ὅτι ἓν ἀνθ' ἑνὸς οὐδέποτε παρ' αὐτοῖς ὁ τόκος σῖτος καλεῖται.

Σιτοφύλακες, Δείναρχος ἐν τῇ κατὰ Καλλισθένους εἰσαγγελίᾳ. ἀρχή τις ἦν Ἀθήνησιν, ἥτις ἐπεμελεῖτο ὅπως ὁ σῖτος δικαίως πραθήσεται καὶ τὰ ἄλφιτα καὶ οἱ ἄρτοι. ἦσαν δὲ τὸν ἀριθμὸν πεντεκαίδεκα μὲν ἐν ἄστει, πέντε δ' ἐν Πειραιεῖ, ὡς Ἀριστοτέλης ἐν Ἀθηναίων πολιτείᾳ.

Σκαμβωνίδαι, Λυκοῦργος ἐν διαδικασίᾳ Κροκωνιδῶν. ἔστι δὲ δῆμος τῆς Λεοντίδος.

Σκαφηφόροι. Δείναρχος ἐν τῷ κατὰ Ἀγασικλέους φησίν· οἱ ἀντὶ σκαφηφόρων ἔφηβοι εἰς τὴν
269 ἀκρόπολιν ἀναβήσονται, οὐχ ὑμῖν ἔχοντες χάριν τῆς πολιτείας, ἀλλὰ τῷ τούτου ἀργυρίῳ. ἀντὶ τοῦ μέτοικοι. οὗτοι γὰρ ἐσκαφηφόρουν Ἀθήνησι. Δημήτριος γοῦν ἐν τρίτῳ νομοθεσίας φησὶν ὅτι προσέταττεν ὁ νόμος τοῖς μετοίκοις ἐν ταῖς πομπαῖς αὐτοὺς μὲν σκάφας φέρειν, τὰς δὲ θυγατέρας αὐτῶν ὑδρεῖα καὶ σκιάδεια. διείλεκται περὶ τούτων καὶ Θεόφραστος ἐν τῷ δεκάτῳ τῶν νόμων.

Σκαφίον, Ἀντιφῶν ἐν τῇ πρὸς τὴν Δημοσθένους γραφὴν ἀπολογίᾳ. ὅτι δὲ τὸ σκαφίον εἶδος κουρᾶς καὶ Ἀριστοφάνης ἐν Γήρᾳ.

(163) Σκευοποιοῦντα τὸ πρᾶγμα, Ὑπερίδης ἐν τῷ κατὰ Μαντιθέου, ἀντὶ τοῦ σκευωρούμενον καὶ κατασκευάζοντα καὶ πλαττόμενον.

Σκηνήτης, Ἰσοκράτης Τραπεζιτικῷ. Πυθόδωρον γὰρ τὸν Σκηνήτην καλούμενον. ἔοικεν ἐπώνυμον εἶναι. μήποτε δὲ ὡς εἰς ἀγοραῖον καλούμενον, ἐπειδὴ ἐν σκηναῖς ἐπιπράσκετο πολλὰ τῶν ὠνίων.

Σκηνὴν δὲ ἣν ἔχουσιν, οὐδὲ γὰρ ταύτην λαβόντες ἀναφέρουσι. Δημοσθένης ἐν τῷ πρὸς

Σκουδίων. ἔοικε δὲ σκεῦός τι εἶναι, ὅπερ οἱ μὲν κόσμον τινὰ γυναικεῖον εἶναί φασιν, οἱ δὲ σκιάδειον.

Σκῆψις, Δημοσθένης κατ' Ἀριστοκράτους. πόλις 270 ἐστὶν ἐν τῇ Τροίᾳ, ἧς μνημονεύουσιν ἄλλοι τε καὶ Ἔφορος ἐν τῇ πέμπτῃ καὶ δεκάτῃ.

Σκίαθος, Δημοσθένης Φιλιππικοῖς. νῆσός ἐστι πλησίον Εὐβοίας.

Σκιάποδες, Ἀντιφῶν ἐν τῷ περὶ ὁμονοίας. ἔθνος ἐστὶ Λιβυκόν. Κτησίας ἐν περίπλῳ Ἀσίας φησίν· Ὑπὲρ δὲ τούτων Σκιάποδες ὄνομα τούς τε πόδας ὥσπερ οἱ χῆνες ἔχουσι κάρτα πλατέας καὶ ὅταν θέρμη ᾖ, ὕπτιοι ἀναπεσόντες ἄραντες τὰ σκέλη σκιάζονται τοῖς ποσίν.

Σκίρου, Λυκοῦργος ἐν τῷ περὶ τῆς Ἱερείας. Σκίρα, ἑορτὴ παρ' Ἀθηναίοις, ἀφ' ἧς καὶ ὁ μὴν Σκιροφοριών. φασὶ δὲ οἱ γράψαντες περί τε ἑορτῶν καὶ μηνῶν Ἀθήνησιν, ὧν ἐστι καὶ Λυσιμαχίδης, ὡς τὸ σκίρον σκιάδειόν ἐστι, μεθ' οὗ φερόμενοι ἐξ ἀκροπόλεως εἴς τινα τόπον καλούμενον Σκίρον πορεύονται ἥ τε τῆς Ἀθηνᾶς ἱέρεια καὶ ὁ τοῦ Ποσειδῶνος ἱερεὺς καὶ ὁ τοῦ Ἡλίου. κομίζουσι δὲ τοῦτο Ἐτεοβουτάδαι. σύμβολον δὲ τοῦτο γίνεται τοῦ δεῖν οἰκοδομεῖν καὶ σκέπας ποιεῖν, ὡς τούτου τοῦ χρόνου ἀρίστου ὄντος πρὸς οἰκοδομίαν. 271 καὶ Ἀθηνᾶν δὲ Σκιράδα τιμῶσιν Ἀθηναῖοι, ἣν Φιλόχορος μὲν ἐν δευτέρᾳ Ἀτθίδος ἀπὸ Σκίρου τινὸς Ἐλευσι- (164) νίου μάντεως κεκλῆσθαι, Πραξίων δὲ ἐν δευτέρᾳ Μεγαρικῶν ἀπὸ Σκίρωνος.

Σκιράφια, Δείναρχος ἐν τῷ κατὰ Προξένου. σκιράφια ἔλεγον τὰ κυβευτήρια, ἐπειδὴ διέτριβον Σκίρωνι οἱ κυβεύοντες, ὡς Θεόπομπος ἐν τῇ πεντηκοστῇ ὑποσημαίνει.

Σκυθικαί, Λυσίας ἐν τῷ ὑπὲρ Βακχείου καὶ Πυθαγόρου, εἰ γνήσιος. εἶδός τι ὑποδήματός εἰσιν αἱ Σκυθικαί, καὶ Ἀλκαῖος ἐν πεντηκοστῇ ὀγδόῃ,

καὶ Σκυθικὰς ὑποδησάμενοι.

Σμικύθιων, Δημοσθένης ἐν τῷ κατ' Ἀριστοκράτους, ὄνομα κύριον.

Σόλοι, Ἰσοκράτης Εὐαγόρᾳ. Σόλοι ἡ μὲν Κυπρικὴ πόλις, ἡ δὲ τῆς Κιλικίας, ὡς ἄλλοι τε ἱστοροῦσι καὶ Ἔφορος ἐν τῇ πέμπτῃ.

Σπαρτωλὸς, Ἀντιφῶν ἐν τῷ ἐπιγραφομένῳ ἐπιτροπικὸς Τιμοκράτους. πόλις ἐστὶ τῆς Βοττικῆς ἡ Σπαρτωλός.

Σπερμολόγος, Δημοσθένης ὑπὲρ Κτησιφῶντος.
272 λέγεταί τι μικρὸν ὀρνιθάριον κολοιῶδες, σπερμολόγος ὠνομασμένον, ὡς ἔοικεν, ἀπὸ τοῦ τὰ σπέρματα ἀναλέγειν, οὗ μνημονεύει Ἀριστοφάνης ἐν Ὄρνισι. λέγεται οὖν ἀπὸ τούτου ὁ εὐτελὴς καὶ εὐκαταφρόνητος ἄνθρωπος· καὶ ἴσως ἀπὸ τῶν ἀλλοτρίων διαζῶν ὁ σπερμολόγος.

Στασιώτης. Ἀντιφῶν ἐν τῷ περὶ τῆς μεταστάσεως· Περὶ τοίνυν ὧν Ἀπόληξις κατηγόρηκεν, ὁ στασιώτης ἦν ἐγὼ καὶ ὁ πάππος ὁ ἐμός. ἔοικεν νῦν ὁ ῥήτωρ ἰδίως ἐπὶ τοῦ δορυφόρου κεχρῆσθαι τῷ ὀνόματι· ἐν γοῦν τοῖς ἑξῆς φησιν ὅτι οὐκ ἂν τοὺς μὲν τυραννοῦντας ἠδυνήθησαν οἱ πρόγονοι καλέσαι, τοὺς δὲ δορυφόρους ἠδυνάτησαν.

Σταφυλοβολεῖον, Ἰσαῖος ἐν τῷ κατὰ Διοκλέους.
(165) ἔστι δὲ τὸ καλούμενον πατητήριον, ὡς Ἀνδροτίων ἢ Φίλιππος ἐν τῷ Γεωργικῷ.

Στεφανηφόρος, Ἀντιφῶν ἐν τῷ πρὸς Νικοκλέα. Στεφανηφόρου ἡρῷον, ὡς ἔοικεν, ἦν ἐν ταῖς Ἀθήναις. εἴη δ' ἂν ὁ Στεφανηφόρος ἤτοι τῶν Ἡρακλέους υἱέων εἷς τῶν γενομένων ἐκ τῶν Θεστίου θυγατέρων, οὗ
273 μνημονεύει Ἑλλάνικος ἐν δεκάτῳ Φορωνίδος, ἢ μήποτε τοῦ Ἀττικοῦ Στεφανηφόρου τὸ ἡρῷον ἦν, οὗ πάλιν ὁ αὐτὸς Ἑλλάνικος ἐν δευτέρᾳ Ἀτθίδος μέμνηται.

